τις διαλλακτὴς καὶ ταμίας καὶ διανομεὺς ἑκατέρας ἀρχῆς καὶ ἡγεμονίας, οὐκ ἐῶν || φ. 146α οὐδέτερον μέρος ἐπιβουλεύειν θατέρῳ καὶ τῆς ἀλλήλων γῆς ἐπιβαίνειν ἀκόντων.

Ἐπὶ δὴ τῆς τοιαύτης μὲν γῆς, τοιαύτης δὲ χώρας, οὕτω δὲ κύκλῳ διειλημμένης ὄρεσι καὶ βουνοῖς καὶ πεδίοις καὶ τῇ πασῶν ἡμερωτάτῃ καὶ φιλανθρωποτάτῃ θαλάσσῃ τὴν οἴκησιν οἱ πατέρες λαχόντες ἡμῶν, τὸ ταύτης αὖ κάλλιστον καὶ ἀσφαλέστατον ἐκλεξάμενοι τείχεσι περιέλαβον. Γήλοφος γάρ τις οὐ μάλα μετέωρος ἐξανέχει τῆς γῆς, φάραγξί τισιν ἑκατέρωθεν ὠχυρωμένος βαθείαις καὶ τῆς ἄλλης διειργόμενος γῆς ὥςπερ τισὶ τάφροις καὶ πολλῷ τῷ μέσῳ τάφρων ἀμείνοσι. Διὰ δὲ τούτων καὶ ποταμοί τινες ἀέναοι πρὸς θάλατταν ἐκδιδοῦσι, χειμῶνος μὲν καὶ σφοδρότερον ῥέοντες ἑαυτῶν καὶ τὸ ῥεῦμα πληθύοντες, οὐδ' ἔαρος δ' ἀπολείποντες, οὐδὲ μέσου τοῦ θέρους αὐτοῦ, ὡς καὶ πολλὴν οὐ μόνον ἀσφάλειαν τοῖς ἐντὸς ἑαυτῶν χορηγεῖν, ἀλλὰ καὶ ψυχαγωγίαν ἱκανὴν καὶ χρείαν αὐτοῖς ἀποπληροῦν οὐκ εὐκαταφρόνητον. Ῥύμματά τε γὰρ καὶ καθάρματα πάντα δι' αὐτῶν ἔνεστιν ἀπόνως καὶ κούφως ποιεῖσθαι, δι' αὐτῆς ὡς εἰπεῖν τῆς ἑκάστου οἰκήματος θύρας διιόντος τοῦ ῥεύματος. Ὁ δὴ γήλοφος οὗτος, ἀπὸ θαλάττης ἀρξάμενος, ἠρέμα μὲν καὶ κατὰ μικρὸν ἐπὶ τὸ ἄναντες ἄνεισι καὶ τιμᾷ τὸ μετέωρον, προϊὼν δ' εἰς ὕψος ἀποκαθίσταται σύμμετρον, ἑκατέρωθεν ὥςπερ τῆς παρ' ἑκάτερα φαραγγώδους μᾶλλον ἀποχωρῶν γῆς καὶ πρὸς ἑαυτὸν συσφιγγόμενος καὶ κρημνώδη μὲν τὰ παρ' ἑκάτερα ἑαυτοῦ λείπων καὶ ἀποκαθιστάς, ἑαυτὸν δ' ὥςπερ στρογγύλλων εἰς μετέωρόν τινα καὶ ἐπίπεδον χῶρον καὶ ὡς ἐνῆν ἄριστόν τε πρὸς οἴκησιν καὶ πρὸς τὰς τῶν ὡρῶν κράσεις εὐαρμοστότατον. Ἐπὶ δὴ τούτου τὴν πάλαι μὲν πόλιν, νυνὶ δὲ ἀκρόπολιν || φ. 146β ᾤκησαν δομησάμενοι, τῇ σφῶν τε ἀρετῇ μᾶλλον ἢ τῇ θέσει τοῦ τόπου πεπιστευκότες καὶ τειχῶν ἐχυρότητι, καίτοι καὶ τείχη περιεβάλλοντο καρτερὰ πύργων τε εἵνεκα καὶ τῆς στεφάνης αὐτῶν καὶ ἐπάλξεων καὶ πάσης τῆς τῇδε παρασκευῆς, οὐδενὸς εἶχον τὰ δεύτερα. Ἐδύναντο μὲν γὰρ ἀντ' ἄλλου τινὸς ἐρύματος σφῶν αὐτῶν τὰ δόρατα προβαλέσθαι καὶ τείχεσι χρῆσθαι τοῖς ὅπλοις ὡς πάλαι ποτὲ Λάκωνες, ὡς δὲ μηδὲν αὐτοῖς πρὸς ἀσφάλειαν φέρον ἀπείη, μηδὲ τοῦτο γοῦν τὸ μέρος τῆς κατ' αὐτάρκειαν εὐδαιμονίας ἐλλίποιεν, καὶ τοῦτο καλῶς ποιοῦντες προσεπορίσαντο. Ἐντεῦθεν Ἕλληνες ἄνθρωποι καὶ τὴν Ἑλλήνων φωνήν τε καὶ γλῶτταν προϊέμενοι καὶ τιμῶντες ἐλευθερίας τε καὶ ἰσονομίας ἀντι-

10. *ὥσπέρ τισι* 11. *ἀένναοι* 15-16. *ῥύματα* 32. *πάλαί ποτε*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΔΩΡΙΔΗΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ποιούμενοι μόνοι μέσον ᾤκουν βαρβάρων, κύκλῳ περικεχυμένων ἐς πλῆθος, καὶ τῆς Περσῶν ἀρχῆς τε καὶ δυναστείας, πολλὰ μὲν δυναμένων, πάντα δὲ καταδουλωσαμένων, πλείω δὲ περιεζωσμένων ἀρχήν τε καὶ ἐξουσίαν καὶ γῆς ὡς εἰπεῖν ἡγουμένων ἁπάσης. Ἄρτι γοῦν συνῳκισμένοι καὶ οἷα εἰκὸς τόν τε ἀριθμὸν ὄντες οὐ πάνυ πολλοὶ τήν τε ἰσχὺν ἀσθενεῖς, ὅμως εὐθὺς ἐξ ἀρχῆς ἔδειξαν Ἕλληνες ὄντες, γένος ἀδέσποτον καὶ ἀδούλωτον καὶ μόνον ἐλεύθερον τήν τε ψυχὴν τά τε σώματα, Σινωπεῖς τε καὶ Μιλησίους καὶ ἔτι πρότερον Ἀθηναίους τοὺς σφῶν πατέρας μιμούμενοι, τοὺς μὲν οἵας ἴσμεν ἀποκρίσεις ἐπιόντων αὐτοῖς τῶν βαρβάρων ἀποκεκριμένους ἔργα τε διὰ πάντων ἐπιδειξαμένους τίνος οὐκ ἄξια, τοὺς δ' ἐν μέσοις μὲν τοῖς βαρβάροις οἰκοῦντας, οὐδὲν δ' ἐπιστρεφομένους αὐτῶν, ἀλλ' ἐς ὅσον ἐξῆν ὑπὲρ
φ. 147α ἐλευθερίας τοῖς || τῆς οἰκουμένης δεσπόταις ἀνταίροντας καὶ μετέχοντας ἰσοπολιτείας αὐτοῖς, οὐδὲν οὐ τοῦ φρονήματος, οὐ τοῦ τῆς ψυχῆς ἐφεῖσαν ἐμβριθοῦς καὶ γενναίου, οὐδ' ἀνάξιον οὐδὲν τῶν προγόνων καὶ τῆς ἑλληνικῆς ἐπεδείξαντο δόξης, ἀλλ' ὥσπερ οὐ γῆς μᾶλλον ἢ τῆς ἐκείνων ἐκπεμφθέντες ἀρετῆς κληρονόμοι πρὸς αὐτούς τε διεπράττοντο πᾶν ἀναφέροντες κἀκείνοις καὶ τύπον ποιούμενοι καὶ παράδειγμα, διεγίγνοντο φύσει τοῖς βαρβάροις ὄντες πολέμιοι καὶ ἀσύμβατοι καὶ μεγίστοις αὐτῶν ὅροις φωνῇ τε καὶ ψυχῇ διιστάμενοι καὶ κοινὸν οὐδὲν αὐτοῖς ἔχοντες. Πολέμου τε γοῦν νόμῳ κατ' αὐτῶν ἐπιόντες ἰσχυρῶς ἀπεκρούοντο, λόγοις τε φιλανθρώποις παράγειν καὶ ὑποσχέσεσι τὴν αὐτῶν ὑφελέσθαι πειρωμένους ἐλευθερίαν οὐ παρεδέχοντο, ἀλλ' ἐς ὅσον πλεῖστον ἐνῆν διετέλεσαν καὶ ψυχὰς καὶ τὰ σώματα τηροῦντες ἐλεύθερα. Καίτοι τοσάκις εἰκὸς ἦν αὐτοὺς προςβαλεῖν καὶ μετὰ πάσης ἐπιέναι στρατείας τὰ κύκλῳ πάντα καταδουλωσαμένους ἀνθρώπους καὶ καταστησαμένους ὑποχείρια σφίσι, μόνην δὲ μίαν ταυτηνὶ πόλιν ὁρῶντας ἀφηνιάζουσαν καὶ νόμοις καὶ τρόποις καὶ ἤθεσι διαφέρουσι κεχρημένην καὶ ἀλλοτρίαν οὐ φωνὴν μόνον προϊεμένην, ἀλλὰ καὶ δεσποτείαν ἐπικεκλημένην ἑτέραν καὶ τελοῦσαν εἰς Ἕλληνας. Ὧν οὐχ εἰ μὴ πασῶν περιγεγενημένη διατετέλεκε δεινὸν ἡγεῖσθαι δεῖ καὶ ἐπίψογον, δειλίας καὶ ἀνανδρίας ποιουμένους τεκμήριον, ἀλλ' ὅτι τῶν πλείστων ἐκράτησε κἀπὶ τοσοῦτον ἀντέσχε, μόνη πρὸς τοσούτους καὶ τηλικούτους ἀνταίρουσα, καὶ θαυμασόμεθα καὶ ζηλώσομεν καὶ τὴν αἰτίαν ἀνοίσομεν εἰς τὴν κατὰ ψυχὴν τῶν ἐνοικούντων ἀνδρείαν καὶ γενναιότητα καὶ τὸ τοῦ φρονήματος ἀκλινὲς
φ. 147β καὶ ἀήττητον, || ὧν οὕτως ὡς πλεῖστον αὐτοῖς περιῆν ὡς πλείσταις ἀν-

6 (καὶ κατωτέρω). ἐξαρχῆς

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁρῶν γενεαῖς καὶ χρόνῳ κρείττονι μνήμης ἐν ἐλευθερίᾳ διαρκέσαι τῇ ὄντως καὶ πάντων τῶν κύκλῳ περικεχυμένων ἐχθρῶν, πλειόνων τε καὶ ἐλαττόνων, μειόνων τε καὶ μειζόνων, καὶ τῶν ἐκεῖθεν ἐγειρομένων πολέμων οὕτως ὑπερορᾶν καὶ ἐν οὐδενὶ τίθεσθαι καὶ πολλῷ περιγενέσθαι τῷ κρείττονι, ὡς μὴ τὰ καθ' αὐτοὺς μόνον, ἀλλὰ καὶ τὰ πρὸς ἑτέρους κατ' ἐξουσίαν ὡς ἐβούλοντο διοικεῖν, τῶν ἐθνῶν καὶ γενῶν, οἷς ἂν ἑκάστοτε τὸ παραστὰν τῆς χρείας καλέσειε, συμμαχοῦντες, κἂν προσκρούειν τισὶν ἔμελλον, καὶ τούτοις αὐτοῖς τοῖς δυνατωτάτοις ἀνθρώπων οὐδὲν ἐπιστρεφόμενοι οὐδὲ πολύν τινα ποιούμενοι λόγον. Τοὺς γοῦν μετὰ Κλεάρχου μυρίους Κύρῳ τῷ νέῳ κατ' Ἀρτοξέρξου τοῦ τῆς Παρυσάτιδος συμμαχοῦντας καὶ τὴν Περσῶν ἀρχήν τε καὶ βασιλείαν αὐτῷ συγκατακτωμένους, ἐπείπερ αὐτῷ μὲν δυστυχὲς τὸ τοῦ πολέμου τέλος ἀπήντησεν, οὔτε τῆς ἀρχῆς ἐπιλαβομένῳ καὶ προσαπολωλεκότι τὸ ζῆν, οἵδ' ἐν τῷ καθ' αὐτοὺς μέρει καὶ ᾗπερ ἐτάχθησαν κατορθοῦντας ὅμως ἐπαύσαντο τὸν θάνατον Κύρου πυθόμενοι, ἀπαιτούμενοί τε σφᾶς αὐτοὺς καὶ τὰ ὅπλα φέροντας παραδοῦναι οὐδ' ἄκροις ὠσὶν ὑπεδέξαντο, καίτοι μυριάσιν ἐνενήκοντα στρατοῦ κατειργόμενοι, πολλὰ δὲ τὰ μὲν ἔδρασαν, τὰ δ' ἔπαθον, πόρρω μὲν τῆς Ἀσίας ἀναβεβηκότες καὶ αὖ κατιόντες ἐκεῖθεν, διὰ δὲ τῆς ἀλλοτρίας καὶ πολεμίας ἰόντες καὶ πᾶν τὸ ἀντιπῖπτον τὸ μὲν συγκόπτοντες, ἔστι δ' ὑφ' οὗ τοῦτο πάσχοντες. Παραμυθία δ' ἦν αὐτοῖς οὐδεμία καὶ τῶν κακῶν ἀποφυγὴ καὶ μετρία πόλεών τέ τινι προσιέναι κἀνταῦθα τὸν πολὺν διαναπαύσασθαι ‖ πόνον, οὔτ' αὐτοῖς εἶχεν ἀσφάλειαν φ. 148α τούς τε δεξομένους οὐκ ἦν εὑρεῖν· ἐδεδίεσαν γὰρ ἅπαντες Πέρσας καὶ τὴν Περσῶν ἀρχήν, οὕτω κορυφωθεῖσαν. Ἔδει δ' ὅμως διόδου καί τινος ἀναπαύλης αὐτοῖς· ἤδη γὰρ ἀπειρήκασι πολλὰ κεκμηκότες, καὶ οὐκ ἦν ἐπὶ πλέον ἀντέχειν, εἰ μή τις ἐξ ὑπογυίου τῶν περιστάντων αὐτοὺς ἀνακωχὴ κακῶν ἀπαντήσει. Τότε δὴ μόνη καὶ πρώτη τούτους ἡ ἡμετέρα λαμπρῶς ὑποδέχεται καὶ φιλοφρόνως διαναπαύει καὶ παραμυθεῖται καὶ ἀναψύχει, μεταδιδοῦσα καὶ ἀγορᾶς καὶ ὠνίων καὶ δεξαμένη συνοίκους καὶ τραπέζης αὐτοῖς κοινωνήσασα καὶ ἁλῶν καὶ πάντων ὧν εἶχε καλῶν, οὐ τὰς ἀπειλάς, οὐ τὸν ἐπηρτημένον κίνδυνον ὑπολογισαμένη, οὐδ' ὡς ἀνάγκη τούτοις προσκρούειν, οὓς οὐκ ἀνήρ, οὐ πόλις, οὐ γένος οὐδὲν ὑφίσταται, ὑποχωρεῖ δὲ πάντα καὶ συναπάγεται ῥᾷον ἢ ψηφῖδες κατὰ κυμάτων φερόμεναι καὶ χειμάρρου ῥευμάτων.

14. *κέρα καὶ* 17. *ἐννενήκοντα* 20. *ἀντιπίπτον* 22. *τινὶ* 27. *ἐπιπλέον* 35. *ψηφίδες*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΦΙΛΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἥ τε γὰρ γενναιότης καὶ τὸ ἐν πολέμοις ἀήττητον ἥ τε φιλανθρωπία καὶ ἡμερότης καὶ τὸ μὴ πρὸς αὐτῶν εἶναι παριδεῖν τε καὶ ἀπώσασθαι ἱκέτας ἀνθρώπους ταὐτοῦ γένους καὶ τῆς αὐτῆς φωνῆς τε καὶ γλώττης, ἐλευθερίας ἀθλητὰς καὶ γενναίους προβόλους, ταῦτ' οὖν παρ' οὐδὲν ἔπειθον τὴν βαρβαρικὴν ὠμότητα τίθεσθαι καὶ διαπτύειν τὰς ἀπειλὰς καὶ δεδιττομένων καταγελᾶν, εἴτε γοῦν ἥττους αὐτοὺς τῶν βαρβάρων ᾔδεσαν ὄντας καὶ διὰ τοῦτο πεισομένους ἂν ὑπ' αὐτῶν ὅσα τοὺς ὡς κέντρα λακτίζοντας ἔδει, ὅμως ἀνθείλοντο τῆς τῶν ἱκετῶν σωτηρίας τὴν ἰδίαν οἱ πολῖται ζημίαν καὶ τῆς ἱκεσίου θεοῦ θερα-
φ. 148β πείας οὐδὲν ἔθεντο πρότερον, μέγιστον ἂν εἶεν ἐξενηνοχότες || καὶ σαφέστατον δεῖγμα φιλανθρωπίας τε καὶ μεγαλοψυχίας καὶ τελεώτατον ὅρον ἀγάπης σφᾶς αὐτοὺς ὑπὲρ τοῦ σῶσαι τοὺς φίλους προέμενοι καὶ θάνατον εὐκλεᾶ ζωῆς εὐκλεοῦς ἀνθελόμενοι. Εἶτ' ἀξιόμαχον ἰσχὺν περιβεβλημένοι καὶ κράτος ἐν μάχαις ἐπίστευον ἑαυτοῖς καὶ τῇ οἰκείᾳ ἀνδρείᾳ ὡς κούφως πᾶν οἴσοντες καὶ μετὰ πολλῆς τῆς ῥᾳστώνης τὸν ἐπιόντα ἀγωνισόμενοι πόλεμον, πῶς οὐ διὰ παντὸς ἂν ἥκοιεν θαύματος καὶ εἰς ἔσχατον εἶεν ἀναδραμόντες ἀνδρείας καὶ γενναιότητος, οὕτως ὀλίγοι πρὸς τοσούτους καὶ τηλικούτους ἀνταίροντες καὶ δεινὸν ἐντεῦθεν οὐδὲν οὐχ ὅσον οὐ προςδοκῶντες, ἀλλ' οὐδὲ πάσχοντες, τοῦ καιροῦ παραστάντος. Ἄσμενοι οὖν διὰ ταῦτα τοὺς πρόςφυγας ὑποδεδεγμένοι καὶ μεταδόντες ὅσων εἰκὸς, τῆς τε πρὸς τὸ παρὸν ἀσφαλείας αὐτῶν προὐνοήσαντο, εἴσω τειχῶν αὐτοὺς ποιησάμενοι, καὶ τῆς μετέπειτα σωτηρίας ἐφρόντισαν, καὶ ὅπως ἂν ἀσφαλέστατα διὰ φιλίων καὶ ἑλληνίδων βαδίζοιεν πόλεων, μηκέτι δεδιότες βαρβάρους καὶ τὸν ἐκεῖθεν ὑποπτεύοντες κίνδυνον, διεπράξαντο.

Ὁ γοῦν αὐτοῖς καὶ Κλεάρχῳ ἄνω τε συναναβὰς τῆς Ἀσίας καὶ πάλιν συνεπανιὼν κατελθοῦσι Ξενοφῶν Ἀθηναῖος, ἀνὴρ οὐ σοφίαν μόνον καὶ λόγον εὐδόκιμος, ἀλλ' οὐδὲν ἧττον τὴν πολιτικὴν ἄριστος ἐπιστήμην καὶ τὰ πολεμικὰ κράτιστος, στρατηγῶν μὲν αὐτῶν ἐν τῷ μέρει, τοῦ Κλεάρχου θανόντος, τὰ πλείω δ' ὅμως ὧν κατειργάσαντο ἔχων εἰς ἑαυτὸν ἀναφέρειν τὰς οἰκείας βουλὰς, οἷόν τις ἄρχων ἀρχόντων ὑπάρχων καὶ στρατηγὸς τῶν ἀγόντων, οὗτος τοίνυν, τὰ καθ' ἑαυτούς τε καὶ Κῦρον συγγράφων καὶ τὴν στρατείαν ἐκείνην, τῆς ἡμετέρας
φ. 149α τὰ κάλλιστα μαρτυρεῖ, θαλάσσιόν τε καὶ ἑλληνίδα καὶ μόνην σφίσιν ||ἀναφανεῖσαν φίλιον ὀνομάζων, ὡςανεὶ βοῶν καὶ διαμαρτυρόμενος

3 (καὶ κατωτέρω πανταχοῦ). ταυτοῦ  7 (καὶ κατωτέρω). διατοῦτο
9 (καὶ κατωτέρω πανταχοῦ). πολῖται  20 (καὶ κατωτέρω). διαταῦτα

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὡς ἐν οἰκουμένῃ τοσαύτῃ καὶ τοσούτῳ γῆς μέρει, ἣν διῆλθον καὶ δι' ἧς διιόντες πολλὰ τὰ μὲν ἔπαθον, τὰ δ' ἔδρασαν, μόνην ἐλευθέραν καὶ κυρίαν ἑαυτῆς ἐθεάσαντο ταυτηνί, τῶν ἄλλων ἁπάντων δεδουλωμένων. Τοὺς γὰρ βασιλέως ἐχθροὺς οὐκ ἦν οὐδέσι χρήσασθαι φίλοις τῶν πολύν τινα λόγον ποιουμένων τοῦ βασιλέως. Ἅμα τε γὰρ ἂν αὐτοῖς ἦσαν φίλοι καὶ τοῦ βασιλέως ἐχθροί, ὥστε πρὶν πρὸς αὐτοὺς ἐπιδείξασθαι τὰ τῶν φίλων πρὸς ἐκεῖνον ἀκήρυκτον ἐχρῆν πόλεμον ἀναρριπίσαι καὶ μάχην, τοῦτο δ' ἂν ὅσης εἴη δυνάμεως καὶ ὡς ἀνδρῶν ἐλευθέρων καὶ τὰς ψυχὰς ἀηττήτων οὐδεὶς ὃς ἀγνοεῖ. Δεξάμενοι γοῦν αὐτοὺς ἐπὶ τῆς αὐτῆς οἱ πατέρες ἡμῶν πόλεως καὶ τὴν Περσῶν ἔχθραν ἐν δευτέρῳ θέμενοι τοῦ πρὸς αὐτοὺς γιγνομένου, μέχρι Σινώπης διαβῆναι ἐποίησαν, ἐκεῖσε καταγαγόντες αὐτούς, οὗ λοιπὸν ἦν οὐδὲν δέος οὐδ' ὑποψία περσικοῦ φόβου καὶ τῶν ἐκεῖθεν ἐπηρτημένων κινδύνων. Καίτοι, εἰ θαυμάζομεν Ἀθηναίους, Ἡρακλείδας οὐ μόνον ὑποδεξαμένους, Εὐρυσθέως ἐλάσαντος, ἀλλ' ἔς τε τὸ παρὸν μεταδόντας πολιτείας καὶ τῆς ἄλλης παραμυθίας καί, τοῦ καιροῦ παρασχόντος, εἰς τὴν γῆν τὴν πατρῴαν καταγαγόντας καὶ τὴν ἐκ γένους καὶ πατρὸς αὐτοῖς προσήκουσαν ἀπιδόντας ἡγεμονίαν, πῶς ἄν τις οὐχὶ θαυμάσεται τὰ ἡμέτερα καὶ τὴν φιλανθρωπίαν ὑμνήσει καὶ ζηλώσει τὴν γενναιότητα; Οὔτε γὰρ τῶν ἐκ Περσῶν ὑπεριδεῖν ἀπειλῶν τοσοῦτο δυναμένων, οὔτε τοῦ σφίσι συμφέροντος ἦν ἀμελῆσαι, μὴ γενναιότητι καὶ φιλανθρωπίᾳ διενεγκόντας. Ὅσον γοῦν ἑνὸς ἀνδρὸς Εὐρυσθέως καὶ γῆς ὀλίγης τυράννου μικρὰ δυναμένου τὰ Περσῶν ἔθνη δεινότερά τε καὶ φοβερώτερα, τοσοῦτο μεῖζον ἐροῦμεν ἐξενηνοχέναι ‖ καὶ ἐναργέστερον πάντων ἀγαθῶν δεῖγμα τοὺς ἀνῃρημένους τὸν πρὸς τοὺς φ. 149β
δεινοτέρους τῶν ἀντιπάλων ἀγῶνα. Τὸ γὰρ τῶν πολεμίων εὐδόκιμον θατέροις, πάντως δὲ τοῖς νικῶσιν οὐκ ὀλίγα πρὸς εὔκλειαν συλλαμβάνεται καὶ ἡ τῶν ἀνταγωνιστῶν γενναιότης ἐς δόξαν τοῖς κρατήσασι φέρει. Ὥστε, εἴτ' οἴκοθεν ἡ πόλις ἡμῖν, μηδενὸς προδιδάξαντος, ἐπὶ τὰ τῶν πράξεων κάλλιστα τὴν ῥοπὴν ἔσχε, τοσοῦτο διήνεγκεν, εἴτ' Ἀθηναίους καὶ τὰς αὐτῶν πράξεις ζηλοῦσα πρὸς τοῦθ' ὥρμησε, τοσοῦτον ὑπερεβάλετο. Οὕτως ἄνωθεν ἑλληνικοῦ τε φρονήματος ἔμπλεως ἦν καὶ τὴν ἐλευθερίαν ἐτίμα, τὴν δουλείαν καὶ μέχρι τῆς κλήσεως ὡς ἐνὸν ἀποστρεφομένη καὶ δυσχεραίνουσα, ἐπεί τοι τὸ χείροσιν ἑαυτῶν ἀναγκάζεσθαι δουλεύειν τινὰς καὶ συνειδέναι σφίσι τὰς ψυχὰς πολλῷ κρείττοσιν οὖσιν ἢ ὑφ' ὧν ἄρχονται τίνος οὐκ ἂν καταβάλοι ψυχὴν ἢ πῶς ἄν τις οὐ δεύτερα πάντα κακὰ θεῖτο καὶ πρὸς ἓν μόνον

22. ὅσο  32. ὑπερεβάλλετο  36. καταβάλλοι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΔΙΕΥΘΥΝΤΗΣ ...
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀγωνίσαιτο τοῦτο, τῆς μεγίστης συμφορᾶς ταυτηςὶν ἀπηλλάχθαι; Τὸν γὰρ ἐλεύθερον ἄνδρα καὶ πόλιν ἢ τοῖς ἀμείνοσιν ὑπείκειν ἀνάγκη καὶ δουλεύειν τοῖς κρείττοσιν, ἀγομένοις ὑπ' ἐκείνων ἐπὶ τὰ σφίσι συμφέροντα καὶ ἐφ' ἅπερ οὐκ ἂν αὐτοὶ οἴκοθεν ἤχθησαν· οὗτος γὰρ δὴ νόμος ἀρχῆς ἄριστος καὶ δουλεία ἐλευθερίᾳ ἀντίρροπος, ἔστι δ' ὅτε καὶ κρείττων, ὅταν μὴ σφίσι τινὲς ἐξαρκοῖεν μηδὲ δύναιντο μηδενὸς παραδείξαντος ἐφικνεῖσθαι τῶν ἀρετῶν· ἢ τοῦτο οὐκ ἔχοντας οὐδὲ τοιούτων δεσποτῶν εὐποροῦντας ζῆν καθ' αὑτοὺς ὥς γ' ἐκ τῶν ἐνόντων αἱρουμένους τὰ βέλτιστα καὶ ἃ ἄν τις διὰ πάντων ἐλευθερίαν αὐτοῖς μαρτυρήσειεν. Ἐπὶ δὴ τοιούτοις καὶ οἱ ἡμέτεροι σαλεύοντες λογισμοῖς καὶ ταῦτα προμελετῶντες, οὕτω τῶν τοιούτων ἐγένοντο λο-
φ. 150α γισμῶν καὶ ταύτης τῆς δόξης, ‖ ὥστ' ἐφ' ὅσον μὲν ἐνῆν καὶ ψυχὰς καὶ σώματα διετέλεσαν ἐλεύθεροι ὄντες, μετ' ἐλευθερίας τῆς ὄντως πολιτευόμενοι καὶ τὰ καθ' αὑτοὺς διοικοῦντες, μόγις δέ ποτε καὶ τοῦτ' ἐπ' ὀλίγον τοῖς σώμασιν εἴξαντες, ταῖς ψυχαῖς οὐχ ὡμολόγησαν οὐδ' ἐγγύς, οὐδ' ἐδουλώθησαν τὰ φρονήματα τῷ μεγίστῳ ἑαυτῶν καὶ κυριωτάτῳ τὸ ἀρχικὸν τηροῦντες καὶ τὴν ἡγεμονίαν καὶ τὸ διὰ πάντων ἐλεύθερον. Δυοῖν γὰρ δὴ τούτοιν, σώμασι καὶ ψυχαῖς, δεδουλωμένων τῶν ἀνθρώπων ἀνθρώποις, τοὺς μὲν τὰς ψυχὰς καταβεβλημένους καὶ γνώμαις ταπεινωθέντας ἐλευθέρους οὐκ ἂν ὀνομάσαιμι, κἂν σώμασιν ἄρχοιεν, τῷ τιμιωτάτῳ ἑαυτῶν ὑπακούοντας ἄλλων. Ἂν δέ τις ἐς μὲν ὅσον ἐστὶν ἐφικτὸν ὑπερέχῃ ἐναντίων καὶ ἀμφοτέροις, ἀνάγκης δὲ συνωθούσης προδιδοίη τὰ τῆς ἐλάττονος μοίρας ὑπὸ τοῦ σῶσαι τὸ κρεῖττον, τοῦτον τῷ ὄντι ἐλεύθερον οὐκ ἂν αἰσχυνοίμην ἀποφαινόμενος καὶ ἄρχειν, δουλείαν ὑποκρινόμενον, καὶ δεσπόζειν ἐν ᾧ δοκεῖ πρὸς ἄλλων τινῶν ἄρχεσθαι. Τίς γὰρ οὐκ οἶδεν, ὡς τὸν μὲν γνώμῃ ταπεινωθέντα καὶ σώματι δουλεύειν ἀνάγκη, ἅτε τοῦ μὲν ἑπομένου, τῆς δὲ ψυχῆς ἀγούσης ἐκ τρόπου παντός, τῇ δὲ τοῦ φρονήματος ἐμβριθείᾳ καὶ τῷ ἀταπεινώτῳ τῆς γνώμης καὶ τὰ σώματα συνεξαίρεται καὶ συμμετέχει τῆς ἐλευθερίας πρός τε τὴν παρεστῶσαν ὥραν τοῦ χρόνου καὶ τῶν πραγμάτων διδόντων ἐς ὕστερον τελεώτερον, ὡς ἔργοις αὐτοῖς καὶ πράγμασιν οἱ ἡμέτεροι ἔδειξαν, οὐ μετὰ πολὺ τοῖς κοινοῖς δεσπόταις Ῥωμαίοις καὶ τῇ ἀρίστῃ καὶ δικαιοτάτῃ Ῥωμαίων προστεθέντες ἡγεμονίᾳ καὶ ἄσμενος ἐκείνων ἀπαλλαγέντες οἷς πρότερον ὑπετάγησαν, Μιθριδάτου φημὶ καὶ τῶν ἐξ ἐκείνων ποντικῶν βασιλέων.

20. *ὀνομάσασμι* (αι) 21. *ὑπακούοντες* (ας) 22. *μὲν ἐστὶν* 31. *ἐσὕστερον*
32. *μεταπολὺ*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Πρὸς γὰρ δὴ τούτους καὶ τοὺς ἐκ τούτου τοῦ γένους βασιλεῖς, ‖ ἐπὶ μέγα ἠρμένους, ὡς οὐκ ἦν ἔτι ἀντέχειν τὸ μὲν οἷς πολλὰ κεκμήκασι πρότερον ἠγωνισμένοι πρός τε Πέρσας καὶ τοὺς ἄλλους βαρβάρους καὶ αὐτοὺς τοὺς ἀπὸ Μιθριδάτου, τὸ δ' οἷς αὐτοὺς ἔπειτα εἰς μέγιστον ἐπιδεδωκότας συνεῖδον καὶ πολλῆς ἄλλης ἑλληνικῆς γῆς ἐπιλαβομένους, ἐσπείσαντο αὐτοῖς καὶ ὑπήκουον, ἀναξιοπαθοῦντες ὅμως καὶ ταῖς ψυχαῖς δυσχεραίνοντες καὶ ἀνάξιον κρίνοντες ὅτι σώμασι γοῦν, τῷ χείρονι ἑαυτῶν, οἷς μὴ χρεὼν ἔδει ὑπείκειν. Τὴν γὰρ ἐν Πόντῳ καὶ Γαλατίᾳ Μιθριδάτου τοῦ Ἀριοβαρζάνου ἡγεμονίαν, ταπεινὴν ἐν τοῖς ἄνω καιροῖς οὖσαν ἀπὸ μικροῦ τέ τινος ἀρξαμένην, ὅμως ὑπώπτευεν ὁ τῶν Ἀλεξάνδρου διαδόχων μέγιστος καὶ πρεσβύτατος Ἀντίγονος, ὁ βασιλεὺς τῆς Συρίας καὶ τῆς Ἀσίας τοῦ πλείστου, ἔκ τε τῶν πραγμάτων αὐτῶν τεκμαιρόμενος ἐς ὅσον ὄγκου τε καὶ μεγέθους προβήσεται καὶ πόσης γῆς ἐπιλήψεται ἔκ τέ τινος ἐνυπνίου διαταραχθεὶς οὐ μετρίως. Νομίσας οὖν, Μιθριδάτου θανόντος, παραλύεσθαί τε τὴν βασιλείαν αὐτῷ καὶ μέρος τῆς ἰδίας ἀρχῆς γενήσεσθαι τελεώτερον, βουλὴν βουλεύεται πονηρὰν μᾶλλον ἢ σοφήν, ἀδόκητον αὐτῷ καὶ αἰφνίδιον ἐπιστῆσαι τὸν θάνατον. Ἐπεὶ δὴ ξύμμαχον ὄντα κἂν τοῖς φίλοις τελοῦντα καλῶς οὐκ εἶχεν ἐκ τοῦ προφανοῦς ἀνελεῖν, εὐπροσώπου μὴ δραξαμένῳ προφάσεως, δόλῳ μετελθεῖν αὐτὸν ἐδοκίμασε παρόντα τε καὶ κατὰ συμμαχίαν αὐτῷ συνεπόμενον, καί, τῷ υἱῷ Δημητρίῳ τὸ ἀπόρρητον κοινωσάμενος, ὅρκοις αὐτὸν προκατείληφε παρ' ἑαυτῷ τηρεῖν ἀνέκφορον τὸ μυστήριον μηδενί τε τὸ παράπαν εἰπεῖν μηδὲ ἕν. Τὸν δὲ φιλίᾳ τε προκατειλημμένον τἀνδρὸς καὶ ἅμα παθόντα τὴν ψυχὴν ὡς ἀδίκως πεισομένου τἀνθρώπου εὑρεῖν ὅπως Μιθριδάτην τε ῥύσεται τοῦ κινδύνου καὶ κρείττων αὐτὸς ἐπιορκίας φανήσεται, ‖ τὰ ὀμωμοσμένα τηρήσας ὡς ἐνὸν ἔμπεδα· ἀπολαβὼν γὰρ αὐτὸν κατὰ μόνας, ὡς ἐγεγόνεισαν καθ' αὑτούς, γράφει μὲν αὐτὸς κατὰ γῆς τῆς λόγχης τῷ στύρακι, ὁρῶντος ἐκείνου, Φεῦγε, Μιθριδάτα, ὁ δ' εὐθὺς συναισθόμενος ἀπέδρα τε νυκτὸς εἰς Καππαδοκίαν καὶ τὸν ἐπηρτημένον αὐτῷ διέφυγε κίνδυνον. Ἐκ τούτου τῆς τε φιλίας Ἀντιγόνου ἀφίσταται καὶ διετέλει διάφορός τε ὢν αὐτῷ καὶ πολέμιος καὶ τὴν ἀρχὴν ἑαυτοῦ οὐ συνέχων μόνον καὶ συντηρῶν, ἀλλὰ καὶ προσαύξων οὐ μικραῖς ταῖς προσθήκαις. Πολλῆς τε γὰρ καὶ ἀγαθῆς ἐκρά-

φ. 150β — φ. 151α

5. *ἐπϊδόντας* ἐν τῷ κειμένῳ διαγεγραμμένον διὰ γραμμῆς κάτωθεν, ἐν δὲ τῇ φᾳ *Γρ. ἐπϊδεδωκότας* 9. *μϊθριδάτου* ·/. ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ φᾳ ·/. *τοῦ ἀριοβαρζάνου* 23. *τοπαράπαν* 24. *μηδεέν*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΠΟΝΤΙΑΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τησε χώρας καὶ πολλὴν περιεβάλετο δύναμιν, πολλὰ τῶν τότε μὲν ὑπὸ Μακεδόνας, ὕστερον δὲ γενομένων ὑπὸ Ῥωμαίους τότε μὲν αὐτός, ἔπειθ' οἱ μετ' ἐκείνου δουλώσαντες. Ἀσίαν τε γὰρ Ῥωμαίων καὶ Βιθυνίαν καὶ Καππαδοκίαν καὶ Παφλαγονίαν ἀφεῖλον ἦρχόν τε Πόντου τε καὶ Βοσπόρου καὶ μέχρι τῶν ὑπὲρ τὴν Μαιῶτιν ἀοικήτων, οὐδενὸς παρενοχλοῦντος. Ἐπεὶ δ' οὐδὲν αὐτοῖς ὥριζε τὴν πλεονεξίαν, ἀλλ' ἀεί τι ἐπικτώμενοι κἀπὶ τῆς ἀντιπέρας ἠπείρου διέβησαν, Θρᾴκην τε καὶ Μακεδονίαν ἐπὶ στρατῷ πολλῷ προσαγόμενοι καὶ μεγάλῳ συμπάσης τε θαλάσσης ἐπικρατοῦντες· καὶ τὰς Κυκλάδας καταδουλούμενοι νήσους καὶ τὴν Εὔβοιαν ἔχοντες ἤδη ἔκ τε Ἀθηνῶν ὁρμώμενοι, τὰ μέχρι τῆς Θετταλίας ἔθνη τῆς Ἑλλάδος ἀφίστων, ἤγειραν μὲν καθ' ἑαυτῶν τοὺς Ῥωμαίους, κατὰ δὲ τῆς οἰκείας ἤδη κεφαλῆς ἔγνωσαν πᾶν μηχανώμενοι, ἥ τε πλεονεξία προσαπώλεσεν αὐτοῖς καὶ τἀρχαῖα, καὶ τὸ κεφάλαιον αὐτὸ ζημιώσασα, ὥσπερ τοὺς ἐπὶ τόκοις μεγάλοις δανείζοντας, καὶ εἰς τοὐναντίον αὐτοῖς ἢ ἐβούλοντο περιέστη τὰ πράγματα. Μάριός τε γὰρ καὶ μετ' ἐκεῖνον ὁ Σύλλας πολλάκις Μιθριδάτῃ τε τῷ ἀπὸ τοῦ πρώτου ὀγδόου καὶ τοῖς ἐκείνου συρρά-
φ. 151β ξαντες στρατηγοῖς πόλεμον, || οὐ τῆς εὐρωπαίας γῆς διεώσαντο μόνον, ἀλλὰ καὶ Λούκουλλος μετὰ τούτους τῶν ἀσιανῶν ἐθνῶν αὐτὸν οὐκ ὀλίγα ἀφείλετο. Ἐπεὶ δὲ τὸ πεπρωμένον ἀπῄτει καὶ ἡ μοῖρα τὴν Ῥωμαίων ἡγεμονίαν ἠνάγκαζεν ἐς τὰ γῆς ἔσχατα ἐκτετάσθαι καὶ τούτοις ὡρίσθαι σχεδὸν πέρασι, Πομπήιον Μάγνον ἀνέστησε, προθυμότερον μὲν τοῦ κατ' αὐτῶν ἡμμένον πολέμου, μετὰ λαμπροτέρας δὲ καὶ εὐδαιμονεστέρας τῆς τύχης ὁρμώμενον. Ὃς Μιθριδάτῃ συμβαλὼν καὶ ἡττήσας, εἶτα φυγόντα μεταδιώκει, καί, μέχρι Κασπίων πυλῶν ἀνελθών, κρατεῖ μὲν τῶν ἄλλων ἁπάντων ἐθνῶν, Σύρων τε καὶ Κιλίκων καὶ Παφλαγόνων καὶ τῶν ἐν Μεσοποταμίᾳ τε καὶ Φοινίκῃ καὶ Παλαιστίνῃ κατῳκημένων καὶ Ἰουδαίᾳ καὶ Ἀραβίᾳ, δουλοῖ δὲ Ῥωμαίοις Καππαδοκίαν, Μοισίαν, Κολχίδα, Ἰβηρίαν, Ἀλβανίαν, Ἀρμενίαν καὶ τὰ μέχρι Μαιώτιδος. Μιθριδάτῃ δ' οὐ τὴν ἀρχὴν μόνην, ἀλλὰ καὶ τὴν ζωὴν αὐτὴν ἀφελόμενος, λαμπρὸς λαμπρῶς ἐπανῆλθε τῷ δήμῳ Ῥωμαίων εὐφημίαις τε καὶ θριάμβοις καὶ πᾶσι τιμῶν κατεστεφόμενος εἴδεσιν. Ἐντεῦθεν ἡ ἡμετέρα ἄσμενός τε ἣν ἐκ πολλοῦ ἐπίδοξον εἶχεν ἐλευθερίας εἶδεν ἡμέραν, καὶ τοῖς οἰκουμένης δεσπόταις εὐθὺς προσχωρήσασα Ῥωμαίοις, καὶ τῇ 'κείνων ἡγεμονίᾳ ἑαυτήν τε

4. *ἦρχον τὲ* 29. *ἀρραβία* *κολχίδα* ἐκ τοῦ *χολχίδα* 29-30. *ἀρμενίαν* 35. (καὶ κατωτέρω). *κείνων*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝ/ΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ τοὺς ἰδίους τροφίμους ἐνέδωκε φέρουσα, πολλὰ μὲν συνησθέντας σφίσιν αὐτοῖς ἀνθ' ὧν τῆς βαρβαρικῆς ἐπιστασίας εὐτυχῶς ἀπηλλάγησαν, πολλὴν δὲ τῷ ἐλευθερίῳ θεῷ χάριν ὁμολογήσαντας τῆς ἐς τὸ κρεῖττον αὐτῶν τε καὶ τοῦ ξύμπαντος ἐπιδόσεως. Τὸ δ' ἦν Ῥωμαίοις ὑποταγῆναι, ἑλληνικῆς τε γῆς οὐ μόνον ἡγουμένοις ἁπάσης, ἀλλὰ καὶ μόνοις ἀξίως καὶ ὄντως ἄρχουσι, κηδεμονικήν τε καὶ ‖ πατρικὴν τὴν φ. 152α ἐς τοὺς ὑπηκόους ἐπιδεικνυμένοις εὔνοιαν καὶ τὸ 'κείνοις συμφέρον ἐκ παντὸς τρόπου μηχανωμένοις, ὅπερ ἐστὶν ἀληθῶς ἄρχοντος καὶ ἡγεμόνος τῷ ὄντι. Οὐ γὰρ δυνάμει γε μόνον καὶ περιουσίᾳ καὶ πλούτου καὶ στρατιᾶς κατεῖχον ὑπήκοα πάντα ἔθνη καὶ πᾶν γένος ἀνθρώπων, ἀλλ' οὐδὲν ἧττον τῷ τε νομίμως ἄρχειν καὶ δικαίως αὐτοὺς ἐπήγοντο καὶ οἷς ὡς πρὸς παῖδας πατὴρ ὣς ἤπιος προςεφέροντο. Ἐντεῦθεν γὰρ αὐτοῖς καὶ παραμόνιμον τὸ τῆς ἀρχῆς διατετέλεκε γενόμενον πρόσχημα, ἅτε συνεχόμενόν τε εὐνοίᾳ καὶ φιλίᾳ συνδούμενον, καὶ μόνοι τοῦ χρόνου κρείττους ἐγένοντο, τοσούτου μὲν ἤδη τοῦ ἀπ' ἐκείνου παραρρυέντος, οὐδὲν δ' αὐτοῖς τήν τε εὐδαιμονίαν καὶ τὴν ἡγεμονίαν λυμηναμένου, ἀλλ' ἄτρεπτόν τε καὶ ἀκίνητον σχοῦσιν, ἐφ' ὅσον εἰκός, τὸ κατὰ πάντων κράτος καὶ τὴν ἀρχὴν τὴν βασίλειον. Οἷς πολλῆς γῆς καὶ πλειόνων ἐθνῶν δηλωθέντων τὸ μέγιστόν τε καὶ κάλλιστον ἦν τὸ καὶ τὴν Ἑλλάδα τοὺς δεσπότας γνωρίσαι καὶ ζῆν ὑπὸ τούτους ἑλέσθαι τοὺς ἁπανταχῇ γῆς τὴν Ἑλλήνων τιμῶντας φωνήν. Πατρικήν τε γὰρ βασιλείαν καὶ νόμιμον καὶ σοφῶν ἐπιστασίαν ἀνδρῶν πόσων οὐκ ἄν τις ἐλευθεριῶν ἄσμενος πρίαιτο; Ἐντεῦθεν Ῥωμαῖοι μὲν ἦρχον, ὑπήκουε δὲ καὶ ἡ ἡμετέρα καὶ ἤγετο μετά γε τῶν ἄλλων Ἑλλήνων καὶ τῆς Ἀθηνῶν πόλεως καὶ μητρὸς Ἀττικῆς καὶ σχῆμα μὲν εἶχον ὑπακουόντων, τιμῶν δ' εἵνεκα καὶ εὐνοίας καὶ ἧς ἐφύλαττον εἰς αὐτοὺς αἰδοῦς οἱ σφῶν ἄρχοντες συνάρχοντες μᾶλλον ἐδείκνυντο, ὥςπερ τις νεώτερος ἀδελφῷ πρεσβυτέρῳ συμβασιλεύων ἤ, ἵνα φῶ τἀληθέστερον, ὡς εὖ μὲν καὶ γνώσεώς τις καὶ φωνῆς ἥκων καὶ πείρας τῆς ἐς τὸν βίον, ‖ γήρᾳ δ' ἄλλως ἐξημβλωμένος τὸ δύνασθαι φ. 152β πράττειν ἀδελφῷ ῥωμαλέῳ μὲν καὶ θαρροῦντι καὶ πολεμικῆς ἐπιστήμης ἱκανῶς ἔχοντι, δεομένῳ δὲ λόγων καὶ συμβουλίας συμπαρομαρτῶν τε καὶ συνεπόμενος. Τήν τε γὰρ φωνὴν Ἕλλησιν ἐς τὸ ἀκριβέστατόν τε καὶ καθαρώτατον ἐξησκημένην Ῥωμαῖοι ἠπίσταντο τήν τε γνῶσιν καὶ φρόνησιν καὶ τὸ περιὸν τῆς σοφίας αὐτά τ' ἐδείκνυ τὰ πράγματα καὶ ὅσα φθάσαντες διεπράξαντο, ὥςτ' οὔτε βουλεύεσθαι συνετωτέρους ἀλ-

7. *κείνοις* 8. *ὅπέρ ἐστιν* 28. *ὥςπέρ* 30. *ἐξημβλημένος* 31. *ῥωμαλαίω*

λους ᾔδεσαν ὄντας ἢ μείζους τε καὶ καλλίους ἐξ ὧν ἔπραξαν ἀφορμὰς ἔχοντας, οὔτε, λόγον ἀποτεῖναι δεῆσαν σοφόν τε καὶ πιθανόν, προῆγον ἑτέρους, τῶν δευτερείων Ἕλληνας ἀξιοῦντες, ἀλλ' ὡς ἂν μόνους ἀξίους λόγοις κεκοσμημένους καὶ μόνους τὴν ἀνθρώπῳ προσήκουσαν φωνὴν ἀφιέντας, ἅτε καὶ φύσεως ἀνθρώπων ἥκοντας ἐπὶ πλεῖστον καὶ τῷ ὄντι λογικοὺς ὄντας αὐτούς, προῆγόν τε τῶν ἄλλων ἁπάντων καὶ τιμῶν τῶν μεγίστων ἠξίουν καὶ σφῶν αὐτῶν ὁμολογοῦντες αὐτοὺς τῷ παντὶ διαφέρειν γλῶττάν τε τὴν αὐτῶν καὶ σοφίαν ἄγοντες περὶ πλείστου καὶ σπουδάζοντες ἕκαστος ὅστις αὐτὴν ἐξησκηκὼς ἀκριβέστερον φθάσει. Οὕτως ἦγον Ἕλληνες μᾶλλον τοὺς ἄγοντας ἢ ὑπ' αὐτῶν ἤγοντο, καὶ τοιοῦτον αὐτοῖς ἦν τὸ σχῆμα τῆς συμμαχίας.

Τούτῳ δὴ καὶ ἡ πόλις ἡμῖν τῷ τρόπῳ Ῥωμαίοις εἴξασα καὶ τῇ 'κείνων ἡγεμονίᾳ τῆς γινομένης μὲν αὐτῇ τιμῆς τε καὶ θεραπείας ἐκεῖθεν ἀπήλαυε, τὴν δὲ προσήκουσαν αὖθις αἰδῶ τε καὶ πίστιν καὶ εὔνοιαν αὐτὴ τοῖς ἄρχουσιν οὐ μόνον ἐφύλαττεν, ἀλλὰ καὶ ἐς τόδε τηροῦσα διατελεῖ ὑφ' οὓς εὔχετο τελέσαι δεσπότας καὶ οὓς ἐξ ἀρχῆς ἔ-
φ.158α γνω οὐδενός τε || τῶν ἄλλων ἀλλάξασα καὶ διατελοῦσ' αὐτοῖς εὔνους οὖσα τὸν πάντα αἰῶνα. Ἐνιαυτοὶ γὰρ ἤδη πρὸς τοῖς πεντακοσίοις παρῳχήκεσαν χίλιοι Ῥωμαίοις ὑποταγείσης, καὶ πολλὰ μὲν ἔφυσαν ἐν τῷ μέσῳ, πλείω δὲ κέκρυπται, ἃ τῷ μακρῷ χρόνῳ προσήκειν ἔφη τις ἔργα, καὶ ὅπως ἄτρεπτος ἡ πόλις ἡμῖν οὖσα διαμένει καὶ ἀμετάβλητος, οὓς ἡγεμόνος εἵλετο στέργουσα καὶ τὴν γιγνομένην αὐτοῖς ἀποδιδοῦσα πειθώ. Καίτοι τὸ μὲν τῆς ἀρχῆς εἶδος μετεβλήθη Ῥωμαίοις· δικτάτωρες γὰρ ἐν τοῖς ἄνω χρόνοις καὶ ὕπατοι καὶ γερουσία καὶ στρατηγοὶ τὰ Ῥωμαίων ἦγον καὶ ἔφερον, εἶτα μονάρχης αὐτῶν ἐπελάβετο καὶ τὸ βασιλείας εἶδος ἐς τὸν ὄπισθεν χρόνον παρέπεμψε, καὶ τοῦτο τὸ σχῆμα τοῦ δήμου Ῥωμαίων καὶ τῶν αὐτοῖς ὑπηκόων ἐς τόδε προΐσταται, μεταβάσης τῆς βασιλείας ἐς τὸ Βυζάντιον καὶ τὴν ἑῴαν ἀπόμοιραν. Ἡ ἡμετέρα δ' ἐν πᾶσί τε τοῖς καιροῖς καὶ παντοίαις μεταβολαῖς ἡ αὐτὴ πρὸς αὐτοὺς μένει, τὸ Ῥωμαίοις ὑπείκειν προὔργου παντὸς εἶναι κρίνουσα καὶ μόνοις χρῆσθαι δεσπόταις αὐτοὺς ἀξιοῦσα, δυοῖν τε τοῦτο τοῖν καλλίστοιν ἐξάγουσα δεῖγμα τοῦ τε τῇ Ῥωμαίων ἡγεμονίᾳ μηδεμίαν ἑτέραν ἀξίαν εἶναι παραβεβλῆσθαι φιλανθρωπίας τε εἵνεκα καὶ ἡμερότητος. Οὐ γὰρ ἂν αὐτοῖς οὕτως εὐνόει τοῦ τε σφόδρα μέλειν αὐτῇ οἷς κρίνασα ὁμολογήσει καὶ ὑπακούσει ἀνδρείας τε περιεῖναι καὶ ῥώμης, ὑφ' ὧν τοῖς μὲν ὡς ἀξίοις

5 (καὶ κατωτέρω) *ἐπὶπλεῖστον* 6. *προῆγον* 8. *γλῶτταν τὲ* 21. *τὶς*
29. *πᾶσι τὲ* 35. *μέλλειν*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΣΤ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὑπεῖκε, πολλῶν δ' ἄλλων ἐθνῶν ἐπιόντων περιεγίγνετο, καὶ μάλιστα τῶν νῦν ἐπικρατούντων βαρβάρων, οἵ, τὰ κύκλῳ πάντα καταστρεψάμενοι καὶ περὶ τὴν ἡμετέραν κατῳκημένοι, πολλάκις μὲν ἐπέβαλον,|| φ. 153β τοσαυτάκις δὲ ἀπεκρούσθησαν, ὡς πέτρᾳ τινὶ προσρήξαντες ἢ ὡς κάλω ῥαγέντος ὑπανεχώρησαν. Καὶ κατὰ μὲν τῶν ἄλλων ἴσχυσαν πάντων, μόνη δὲ ἡ ἡμετέρα κρείττων τε ὤφθη καὶ πᾶσιν ἀνάλωτος, καὶ τὰ μὲν περί που τὰ τῶν Ῥωμαίων βασίλεια καὶ ὅσα περὶ αὐτὸ τὸ Βυζάντιον ὡμολόγησαν τοῖς βαρβάροις καὶ τὴν δουλείαν ἐδέξαντο καὶ Ῥωμαίων οὐ πολὺν πεποίητο λόγον, ἡμεῖς δ' ἐν ἐσχατιαῖς καὶ πρὸς αὐτοῖς τοῖς ὅροις καὶ πέρασι τῆς Ῥωμαίων ἀρχῆς ᾠκημένοι οὔτε τοὺς σφετέρους ἠρνήμεθα βασιλεῖς οὔθ' ὑφ' ἑτέρων, πολλὰ δυνηθέντων, ἡττήθημεν, ὡς ἂν πόρρω τε ζῶντες Ῥωμαίων καὶ ἢ καθ' αὑτοὺς ἄνευ τῆς ἐκείνων συμμαχίας ἀπειλημμένοι καὶ διὰ τοῦτο ὄντες εὐκαταγώνιστοι ἢ τὴν ἐκείνων ἐξελόντες αἰδῶ τῆς ψυχῆς, ἀλλ' ὡς ἂν πρός τε τοῖς αὐτῶν ὀφθαλμοῖς ἀγωνιζόμενοι, συνεπιρρωνύντων καὶ συμμαχούντων, οὕτω τήν τε πίστιν αὐτοῖς ἐτηρήσαμεν ἀκραιφνῆ καὶ τὴν εὔνοιαν ἀνδρείας τε μέγα σημεῖον ἐξενηνόχαμεν. Οὓς γαρ οὐκ Ἀσία, οὐ Συρία, οὐκ Αἴγυπτος ἀντιβλέψαι δεδύνητο καὶ ὑφ' ὧν Παμφυλία καὶ Κιλικία καὶ Γαλατία δεδούλωτο καὶ οἷς τισι Καππαδοκία καὶ Ἀρμενία καὶ πᾶσα πόλις καὶ χώρα καὶ πᾶν γένος ἀνθρώπων ὑπεῖξαν, κατὰ μόνης οὗτοι τῆς ἡμετέρας οὐκ ἐνανιεύσαντο πόλεως, οὐδ' ἴσχυσαν καὶ ταύτην καταδουλώσασθαι, ἀλλὰ ταῦτα μὲν ἀφεῖλον Ῥωμαίων καὶ τούτοις τὴν ἐκείνων ἐμείωσαν δύναμιν· ἐῶ γὰρ εἰπεῖν ὡς καὶ τῶν Εὐρωπαίων ὑφ' ἑαυτοὺς τὰ πλεῖστα πεποίηντο καὶ ὅσα νῦν οὐκ ἐν καιρῷ λέγειν· μόνης δὲ ταύτης τῆς ἡμετέρας ἡττήθησαν καὶ μόνηνὰν ἄλωτον ἔγνωσαν οὖσαν.

Οὕτω δυνάμεώς τε περιουσίᾳ καὶ πίστεως τὴν ἡμετέραν κατακοσμεῖ καὶ τῷ || κεφαλαίῳ καλλωπιζόμεθα τῶν καλῶν, ἀληθείᾳ καὶ γεν- φ. 154 ναιότητι. Τῶν τε γὰρ νυνὶ κρατούντων οὕτω περιεγένετο κἂν τοῖς ἀνωτέρω τούτων καιροῖς Πέρσαι τὸ κράτος ἔχοντες ἔτι πολλάκις μὲν ἐπειράθησαν, οὐδ' ἅπαξ δὲ κατ' αὐτῆς ἴσχυσαν. Τὴν γὰρ Κολχίδα καὶ Λαζικὴν γῆν, ἧς πάλαι τε προεῖχεν ἡ ἡμετέρα καὶ νῦν καθαρῶς ἄρχει, ὡς πάλαι τε σφῶν κατήκοος ἦν πεπυσμένοι καὶ ὡς μέγα σφίσι δουλωθεῖσαν αὖθις συντελέσειν τε καὶ συνδραμεῖσθαι πρὸς τὸ ῥᾳδίως ἐντεῦθεν τὴν Ῥωμαίων γῆν ἅπασαν καταδραμεῖν καὶ λῄσασθαι αὖ-

2. *καὶ*| *οἳ*   13. *δι'ατοῦτο*   18. *παμφιλία*   19-20. *ἁρμενία*   24. *πε*$^{ν}$*ποίητο*   33. *μέγά σφΐσΐ*



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τοί τε εἰδότες καὶ ἄλλων ἀκούοντες. Οὐδὲ γὰρ οὐδ' αὐτὸ Βυζάντιον ἐάσειν ἀπόρθητον, ἀλλὰ καὶ τοῦτο αἱρήσειν, οὐδενὸς σφίσιν ἀντιστατοῦντος, οὐδὲν ὅ τι μὴ κατ' αὐτῆς ἐκίνησαν, καὶ σώμασι καὶ χρήμασι καὶ πλήθει στρατοῦ παρακινδυνεύοντες καὶ παραβαλλόμενοι ταῖς τε τῶν ὀρῶν δυσχωρίαις τοῖς τε στρατιώταις Ῥωμαίων, ἀπαντῶσιν ἐξ ὑπογυίου καὶ πειρωμένοις κωλύειν. Ἐπὶ γοῦν Ἰουστίνου τοῦ πρώτου Ῥωμαίων βασιλεύοντος Καβάδης ὁ Περσῶν βασιλεὺς Ἴβηρσί τε καὶ Γουργένῃ τῷ βασιλεῖ τῶν Ἰβήρων ἐπιστρατεύσας μέχρι τε Λαζικῆς αὐτοὺς καταδιώκει φυγόντας καὶ δύο Λαζικῆς ἔσχεν οὐ πολλῷ πόνῳ φρούρια, πρὸς αὐτοῖς εἰσιόντι τοῖς Λαζικῆς τε καὶ Ἰβηρίας ὅροις δεδομημένα. Χοσρόης τε ὁ Καβάδου, τὰ Ῥωμαίων Ἰουστινιανοῦ διευθύνοντος, ἠπείγετό τε προσωτέρω χωρεῖν καὶ σπουδὴν οὐ μικρὰν ἐποιεῖτο τὸ σύμπαν τε Λαζικῆς καὶ τὴν ἡμετέραν αὐτὴν, εἰ οἷόν τε, καταδουλώσασθαι, ὡς τοῦτο ὂν αὐτῷ τῶν ἄθλων τὸ τελευταῖον καὶ τῆς ἀρχῆς ὁ ἔσχατος ὅρος, καὶ μεγάλῳ μὲν ἐξέβαλε πολλάκις στρατῷ, πλείω δὲ φ. 154β παθὼν || ἢ δράσας, κακὸς κακῶς ἐκεῖθεν ἀπήλλαξεν. Οὐδὲ γὰρ οὐδὲν πλέον δυνηθεὶς ὅτι μὴ Πέτραν ἑλεῖν φρούριόν τι νεόδμητον, Ἰουστινιανῷ τῷ βασιλεῖ δομηθὲν, εἶτα μετὰ πολλῆς ἐκεῖθεν ἀπηλάθη ζημίας, πολλούς τε καὶ ἀγαθοὺς ἀποβαλόμενος τῶν Περσῶν, Ῥωμαίων τε καὶ τῶν ἡμετέρων ἀντικρουσάντων πατέρων καὶ τὴν σφοδρὰν αὐτῶν ῥώμην ἐπισχόντων σφοδρότερον. Ὥστ' οὐχ ὅσον κακῶν ἀπαθὴς ἡ ἡμετέρα τετήρηται, οὐδ' ἄχρι Ῥιζαίου καὶ Ἀθηνῶν αὐτῶν προελθεῖν τῶν Περσῶν δυνηθέντων, ἀλλ' οὐδ' ἐπ' ἐξουσίας αὐτοῖς πρὸς τὰ οἰκεῖα καὶ γῆν τὴν σφετέραν ἐπανελθεῖν συνεχώρησεν, ἐν κομιδῇ μὲν στενοῖς καὶ δυσόδοις ἀπειλημμένοις χωρίοις, ἀξίαν δὲ δοῦσι δίκην Ῥωμαίοις ὧν πεπαρῳνήκεσαν εἰς αὐτοὺς, τῆς σφίσι μὴ προσηκούσης ἐπιβατεύοντες γῆς καὶ ἀλλοτρίαν ἐπικτώμενοι δύναμιν.

Οὕτως αὐτῇ τῶν τε ἐναντίων εἵμαρτο περιγίνεσθαι καὶ μετὰ πολλοῦ τοῦ κρείττονος ἀπαλλάττειν, κρείττονι γινομένῃ τῶν πάντοθεν κατ' αὐτῆς ἐπιόντων. Αὐτή τε γὰρ καθ' αὑτὴν ἄμαχος ἦν καὶ ἀήττητος οἷς ἠγωνίζετο, μηδενὸς συμμαχοῦντος, τῷ τ' ἐκ Βυζαντίου καὶ Ῥωμαίων στρατῷ κατὰ Περσῶν ἐνοχλούντων αὐτοῖς συμμαχοῦσα τοὺς μείζους τῶν ἀγώνων καὶ κρείττους οἰκεῖον ἑαυτῇ ἆθλον πεποίητο, ἡγουμένη τε καὶ παραδεικνῦσα καὶ τρόπους πολέμων καὶ τόπων εἰσόδους καὶ διόδους δυσχωριῶν, ὧν ἀκριβέστερον αὐτὴ πάντων πεπείρατο, ὡς

7. ἴβηρσί τὲ 18. ἀπηλάθη (λ) διαγραφέντος εἶτα τοῦ ἄνωθεν λ 19 πολλούς τὲ ἀποβαλλόμενος 23. ἐπεξουσίας

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἂν τοῖς τε βαρβάροις ὅμορος οὖσα καὶ τὸν πρὸς αὐτοὺς πόλεμον πάλαι γεγυμνασμένη. Ὥσθ' ὧν αὐτή τε κατώρθου καὶ Ῥωμαῖοι ἐνίκων τὴν αἰτίαν αὕτη μόνη δικαίως ἂν ἀποφέροιτο ‖ καὶ τοῖς ἐντεῦθεν κοσμοῖτο φ. 155r στεφάνοις οὐχ ὅτι μόνον ἦρχε παντὸς ἀγαθοῦ καὶ παρεδείκνυ Ῥωμαίοις ἅπερ οὐκ ᾖσαν εἰδότες αὐτοί, ἀλλ' ὅτι κἀνταῦθα τοὺς ἁπανταχόθεν ὑποδεχομένη στρατιώτας Ῥωμαίων καὶ πολλὰ ταῖς ὁδοιπορίαις ταλαιπωρήσαντας ἀναπαύουσα τῶν τε ἐπιτηδείων μεταδιδοῦσα καὶ τῶν ἀναγκαίων ἁπάντων, ἀκμῆτας αὐτοὺς ἐντεῦθεν ὡς ἔκ τινος ὁρμητηρίου καὶ ἐπιτειχίσματος, ἐπιθέσθαι τε τοῖς ἐχθροῖς ἐδίδου καὶ τὰ πλείω νικᾶν. Ἐδύνατο γὰρ δὴ τοῦτο μόνη τῶν ἄλλων ἡ ἡμετέρα, καὶ δυναμένη παντὸς μᾶλλον ἐβούλετο, τῶν ἄλλων τῶν μὲν ᾠκημένων ὡς πορρωτάτω πασῶν, ὥστ' οὐδὲν ἧττω τὸν πόνον εἶναι τῷ Ῥωμαίων στρατῷ, μέχρις αὐτῶν ἴοῦσι τῶν πολεμίων προκατειργασμένοις τε τὰ σώματα καὶ τὴν δύναμιν εὐχειρώτοις διὰ ταῦτα καθισταμένοις, τῶν δ' ἐγγὺς μὲν κειμένων, τὰ ἴσα δ' οὐ δυναμένων οὔτε μεγέθει καὶ κατασκευῇ πόλεως οὔτ' ἀφθονίᾳ τῶν ἐπιτηδείων καὶ ὅσων ἄνθρωποι χρῄζουσιν, ἐπ' ἀλλοτρίας οὐ διιόντες μόνον, ἀλλὰ καὶ διατρίβοντες. Εἰ δὴ κατορθοῦν μὲν οὐ μικρὸν οὐ μεῖζον ἔνι τῶν πολεμικῶν, μὴ πρότερον εὖ παρεσκευασμένους τὰ πάντα, πρὸς δὲ τὸ παρεσκευάσθαι καλῶς ἡ πόλις ἡμῶν οὐκ ὀλίγον Ῥωμαίοις παρ' ἑκάστους συνεβάλλετο τοὺς καιρούς, πῶς οὐχὶ καὶ τῶν ἐκείνοις κατορθωθέντων προσήκοι τῇ Τραπεζοῦντι καὶ διχῇ πλέκοιτο ταύτῃ τῶν ἐπαίνων ὁ στέφανος οἷς τε καθ' αὑτὴν διεγίνετο πάντων κρατοῦσα καὶ οἷς ἄλλοις ἐδίδου τὰς ἀφορμὰς τοῦ νικᾶν; Καὶ μήν, εἰ μὲν ἐν μέσῃ τῇ Ῥωμαίων ἀρχῇ κείμενοι κύκλῳ τε πόλεσι σφῶν ὑπηκόοις περιειλημμένοι, περιῃμέν τε τῶν ἐχθρῶν καὶ τοῖς ἐξ ἀρχῆς δεσπόταις τὴν εὔνοιαν καθαρὰν ἐτηροῦμεν, οὔτ' ἂν ἡμῖν ἐπαίνων μεγάλων ‖ προσήκειν ἔφη φ. 155v τις ἄν, οὔθ' ὡς ἐπὶ μεγάλῳ τινὶ κατορθώματι δικαίως ἂν ἐφρονοῦμεν. Τῶν τε γὰρ κύκλῳ συντρεχόντων ἡμᾶς ἦν ἂν τὸ ἆθλον ἐν προβόλου τε μοίρᾳ καθεστώτων ἡμῖν καὶ τοὺς ἐπιόντας γενναίως ἀποκρουομένων, ἡμῖν τ' ἂν οὐδὲ πολλὰ βουλομένοις εἶχε καλῶς ἀφίστασθαι, μὴ ἔχουσι δίοδον· νῦν δ' ἐπ' αὐτοῖς ἤδη σχεδὸν τοῖς ὅροις Περσῶν καὶ Ῥωμαίων λαχόντες τὴν οἴκησιν αὐτοί τε προβεβλημένοι τῆς Ῥωμαίων γῆς ὅλης οὔτε πολλῶν καὶ πολλάκις ἐπιόντων ἡττήθημεν, ἀλλ' ὑφιστάμεθα τὰς προσβολὰς γενναιότατα, οὐ μόνον οὐδὲν ἄχρι πάσχον-

2. *κατώρθει* 4-5. *ῥωμαῖοις* 6. *στρατιῶτας* 14. *διαταῦτα* 25. *κείμενοι ἐκ τοῦ κειμένη* 26. *περιῆμεν τὲ* 28. *τίς*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τες, ἀλλὰ καὶ προςεργαζόμενοι τοὺς ἐχθρούς, εἰς ἀφρόν τε καὶ τὸ μηδὲν διαλυομένους ὡς κύματα πέτραις προβλῆσι προςράξαντα, οὔτε ῥᾴδιον ὂν βουλομένοις καὶ τοὺς ἄσμενος ἂν ἡμᾶς δεξομένους ἐπὶ ἴσῃ τε καὶ ὁμοίᾳ ἔχουσιν ἐγγυτάτω πρὸς ἀποστασίαν ἀπείδομεν ἢ γοῦν ἐννοῆσαί ποτ' ἐπῆλθε τοῖς πατράσιν ἡμῶν. Καίτοι, εἰ πίστις ἐστὶν ἄνθρωπος καὶ ἀλήθεια καὶ τὸ τοῖς ἐξ ἀρχῆς δεδογμένοις ἐμμένειν καὶ τὰ ὀμωμοσμένα τηρεῖν, οὕτως ἐπὶ πλεῖστον τῆς ἀνθρώπῳ προςηκούσης ἀρετῆς οἱ ἡμέτεροι προκεχωρήκεσαν πρόγονοι, εἴτε καὶ ἀνδρεία τὰ γένη κοσμεῖ καὶ γενναιότης προςήκει ψυχαῖς ἀνθρωπίναις, οὕτω καὶ ταύτῃ τὸ συγκεχωρηκὸς εἶχον καὶ τὴν ἐντεῦθεν νίκην ἀναμφίβολον ἑαυτοῖς κατεστήσαντο. Πρὸς γὰρ δὴ τῷ ταῦτα δυνηθῆναι κατορθῶσαι, ἃ τοὺς ἐν μέσοις Ῥωμαίους ἐχρῆν, ἔτι καὶ μεῖζον ἐκείνων δεδύνηνται, μείναντες αὐτῶν ἀπαθέστεροι καὶ πιστότεροι. Τἄλλα μὲν γὰρ ἅπαντα περιεῖλον οἱ βάρβαροι καὶ τοὺς Ῥωμαίους ἀφείλοντο, τὰ μὲν ἐξαιροῦντες νόμῳ πολέμου, τοὺς δ' αὐτοὺς προςθεμένους καὶ σφᾶς ἐνδόντας δουλώσαντες, μόνη δὲ ἡ ἡμετέρα ἐπεδίδου τε μᾶλλον καὶ ηὔξανε καὶ τὸ καθ' αὑτὴν ἀμείωτον ἐτήρει τὴν Ῥω-
φ. 150α μαίων ἡγεμονίαν, οὔτε πολέμου ‖ νόμῳ τῶν ἐχθρῶν ἡττηθεῖσα οὔτε τῶν ἐξ ἀρχῆς ἀγαθῶν λογισμῶν καταγνοῦσα καὶ πρὸς τοὺς ἐναντίους ὥςπερ αὐτομολήσασα, ἀλλὰ μένουσα μὲν ἐφ' οἷς ἅπαξ ἔγνω μενετέον αὐτήν, ταῖς δὲ κατὰ μικρὸν αὐξομέναις προςθήκαις ἀνθρώπων τε πλήθει τῶν τε ἐκεῖ γεννωμένων τῶν τε ἄλλοθεν ἐπιγινομένων, οὓς πολλοὺς εἶναι ἀνάγκη, πολιορκουμένους μὲν πάντοθεν, εἰς αὐτὴν δ' ὡς εἰς ἀσφαλὲς κρηςφύγετον καταφεύγοντας καὶ ἄλλως εὑρόντας τῶν αὐτῆς ἀγαθῶν καὶ οἷς τὸ ἐνοικοῦν τρέφει καὶ ἀναψύχει τεχνῶν τε καὶ ἐπιτηδευμάτων ἀσκήσει παντοίων, ὅσαι τε τῶν βαναύσων καὶ ὅσαι τῶν ἐλευθερίων ἀνδρῶν καὶ ψυχῶν, οὐ πρὸς χρείαν συντελοῦσαι μόνον ἀνθρώποις καὶ αὐτὸ τὸ συνίστασθαι, ἀλλὰ καὶ τὸν μετιόντα κοσμοῦσαι καὶ ἦθος καὶ ἀγωγὴν καὶ πολιτείας βελτίωσιν, ἔτι τε τειχῶν παραυξήσει καὶ περιβολῇ μειζόνων μὲν ἢ τὸ πρίν, ἐχυρότητος δ' εἵνεκα καὶ πρὶν προεχόντων. Ἀπῆν γὰρ ὅλως οὐδὲν ἢ μᾶλλον ἦν οὐδέν, ὃ μὴ τὸ μὲν ἤδη παρὸν ἦν αὐτῇ τῶν καλῶν, τὸ δ' ἔμελλε. Τὸ γὰρ πεπρωμένον αὐτῇ καὶ ἡ μοῖρα συνεφόρει πᾶν ἀγαθόν, τὰ μὲν ἤδη καὶ προδεικνῦσα, πρὸς ἃ δ' αὐτὴν εὐτρεπίζουσα ὅσα μήπω παρεῖναι τὸ τοῦ χρόνου συνεχώρει φερόμενον καὶ ἡ τοῦ μέλλοντος μέλησις. Καὶ γοῦν πολλὰ τῶν ἐν τῷ μέλλοντι ταττομένων καὶ ἃ ἂν οὐδεὶς ἤλ-

2. *προςβλῆσι* Ἀλλ' ἴδε Ἰλιάδ. Β 396. 5. *ἐννοῆσαι* 6. *ἐξαρχῆς* 7 (καὶ κατωτέρω). *ἐπιπλεῖστον* 14 (καὶ κατωτέρω). *τἄλλα* 18. *νόμου*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πισε παρήγαγέ τε καὶ ὡς ἂν οὐδεὶς οὐδ' ἂν ηὔξατο οὐχ ὅτι μὴ προσῆκεν αὐτῇ μηδὲ τὰ προσόντα οἱ κἀκεῖνα ἠνάγκαζον, ἀκόλουθά τε ὄντα καὶ οἷς φθάσασα ἔσχεν ἑπόμενά τε καὶ σύμφωνα, ἀλλ' ὅτι, πάντων ἤδη σχεδὸν ἀπολωτότων τῶν τῇδε Ῥωμαίων, ταύτην οὐχ ὅσον περιγενέσθαι, ἀγαπητὸν ὂν καὶ τοῦτο καὶ οὐκ ἂν ἐλαχίστης εὐδαιμονίας τεκμήριον, || ἀλλὰ κἀπὶ τοσοῦτον ἀρθῆναι καὶ δόξης καὶ εὐτυχίας οὐδ' φ. 156 ἐλπίσαι γοῦν εἶχεν ἀσφάλειαν· ἀλλ' ἡ συνέχουσ' αὐτὴν ἄνωθεν ἀγαθὴ τύχη τοῖς τε ἄλλοις κεκόσμηκέ τε καὶ τιμῶσα διατελεῖ τῶν τε ἐς δόξαν φερόντων τὸ μέγιστον ἐπέθηκε φέρουσα καὶ βασιλείας αὐτῇ περιθεμένη διάδημα καὶ ἀξίωμα, βασίλειον αὐτὴν ἡμῖν ὡς πάλαι τοῖς πράγμασι καὶ οἷς διετέλει οὕτω ποιοῦσα, νῦν καὶ τῇ κλήσει παρασκευάσασα λέγεσθαι. Ἔδει γὰρ δὴ τὴν τοσοῦτο πίστει καὶ δυνάμει διενεγκοῦσαν, ὡς μήτε βιασθεῖσαν μήτ' ἐθελοκακήσασαν προσθέσθαι τοῖς ἐναντίοις αὐτήν θ' ἑαυτὴν καὶ τὰς ἄλλας τὸ καθ' αὑτὴν Ῥωμαίοις φυλάξασαν μὴ τῆς ἀρχῆς μόνον τοῖς βασιλεῦσιν ἡμῖν ὑπερασπιστήν τε καὶ πρόβολον, ἀλλὰ καὶ αὐτοῦ σώματος αὐτοῖς γεγονέναι, ἐν σωματοφυλάκων καθεστῶσαν αὐτοῖς μοίρᾳ. Εἴτε γὰρ εὐνοοῦσιν ἀνδράσι σφᾶς αὐτοὺς θαρρεῖν δεῖ τοὺς ἄρχοντας, οὕτω θαυμαστὰ πίστεως ἐν παντὶ τῷ χρόνῳ ἐξήνεγκε δείγματα, εἴτ' ἀνδρείᾳ καὶ ῥώμῃ σωμάτων οὕτω διήνεγκε γενναιότητι, εἴτ' ἀμφοῖν, καὶ δυνάμει καὶ πίστει, οὐκ οἶδ' εἴ τις ἐς ἴσον ἔλθοι τῇ ἡμετέρᾳ. Βασίλειά τε γοῦν ἐν αὐτῇ λαμπρῶς ᾠκοδόμηται, καὶ κρατεῖν ἀντὶ τοῦ δουλεύειν ᾑρέθη, καὶ βασιλέων διαδοχαὶ τῶν πάντα γενναίων ἡμᾶς κεκοσμήκασιν, αὐτοῦ τε τὸν πάντα χρόνον διατριβόντων ἐντεῦθέν τε κατὰ τῶν ἐχθρῶν ἐξιόντων καὶ ὡς ἡμᾶς αὖθις ἐπανιόντων κἀντεῦθεν ἀρχόντων τῶν ὑπὸ χεῖρα καὶ βασιλέων οὐχ οἷς ἄν τις καὶ προστρίψαιτο μῶμον οὐδὲ τῶν πάντα φιλοσκωμμόνων. Κομνηνιάδαι γὰρ ἡμῖν οἱ δεσπόται καὶ βασιλεῖς καὶ τῆς τῶν Κομνηνῶν ῥίζης κάλλιστον ἔρνος καὶ πρέμνος μάλα προσήκων ||τῇ ῥίζῃ καὶ οἷος ἂν γένοιτο πάνυ τοι συμβαίνων τῷ φύσαντι οὐκ ἀπὸ φ. 157α γένους μᾶλλον ἢ τοῦ τρόπου τῆς ἀρχῆς ἄξιοι καὶ τοῦ τῆς βασιλείας ὀνόματος. Τό τε γὰρ γένος αὐτοῖς καὶ σφόδρα τῷ τῆς ἀρχῆς ὄγκῳ συνᾷδον ἥ τε ἀρετὴ καὶ τῶν πράξεων ἡ λαμπρότης οὐδέσι προσῆκεν ὅτι μὴ βασιλεῦσι καὶ δεσπόταις ἀνθρώπων, ὥστ' εἶναι καὶ τὸν τρόπον αὐτοῖς οἷον θαυμάζεσθαι τό τε γένος οὐκ ὀλίγα κοσμεῖν ἔχειν αὐτοὺς τε καὶ τοὺς σφίσι δουλεύοντας, ὑφ' ὧν τῆς τε βασιλείας ἐκρίθησαν

2. *προσόντά* 24. *ἐντεῦθεν τὲ* 26-27. *φιλοσκωμόνων* (μ superscript) 28. *κάλλιστος*
32. *συνάδον*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἄξιοι καὶ τῷ δήμῳ Ῥωμαίων ἀσμένῳ τε ἀνερρήθησαν καὶ κριθέντες οὐκ ἔψευσαν τῶν ἐλπίδων τοὺς ἑλομένους, οὔτε μετάμελον παρέσχον αὐτῆς τῆς αἱρέσεως. Ἄνδρες γὰρ οὗτοι καὶ πρὸ τῆς βασιλείας τὰ βασιλείας πράττοντες ἄξια καὶ μήπω τὸ διάδημα περικείμενοι τῶν ἐν τηβέννῃ τε καὶ πορφύρᾳ περιειλημμένων οὐδὲν διαφέροντες ὅσα γ' ἐς τὴν τῶν κοινῶν φροντίδα καὶ ἐπιμέλειαν καὶ στρατιωτικὴν ἐμπειρίαν καὶ πολέμους καὶ ἆθλα καὶ ἀγωνίσματα, μᾶλλον δ' αὐτοὶ ταῦτα διαχειριζόμενοι πάντα, καθευδόντων τῶν βασιλέων καὶ βαθὺν ὕπνον ὑπνούντων καὶ τοὺς μὲν πόνους οἰκείους αὐτῶν, τὰ δ' ἆθλα τῶν βασιλέων ποιούμενοι, τόν τε δῆμον τῆς ἑαυτῶν ἀνῆψαν ἀγάπης, συνιόντας ὅστις ἀληθής ἐστι βασιλεὺς καὶ ὅτῳ προσήκει τὰ ἆθλα σφῶν τε αὐτῶν αὐτοὺς δικαιοῦντας βασιλεύειν τε καὶ προΐστασθαι ὡς μόνους ἀξίους, αὐτοί τε ὑπέρ τε τοῦ γένους καὶ ὅπως μὴ παντελῶς ἀπόλωνται Ῥωμαίοις τὰ πράγματα τὴν ἡγεμονίαν ἐδέξαντο. Ἤδη γὰρ ἐπὶ γόνυ τε ἔκλιναν καὶ παντελῶς ἐκεκμήκει τὰ τῆς εὐτυχίας τῷ γένει καὶ ὑπορρεῖν ἤρξατο καὶ ἐνδιδόναι τῷ χρόνῳ καὶ ταῖς ἐκεῖθεν φ. 157β μεταβολαῖς, τῶν μὲν βασιλέων ‖ κατερραστωνευμένον βίον βιούντων, τῶν δ' ἐναντίων ἀγωνιζομένων καὶ ἀγρυπνούντων. Ἀσίαν τε γὰρ κατέτρεχον οἱ βάρβαροι πᾶσαν καὶ τὰ ταύτης ἀδεῶς περιέκειρον κάλλη, μηδενὸς ἐμποδὼν ἱσταμένου, καὶ τὴν Σκυθῶν ἐρημίαν τὰ τῇδε πάντα πεποίηντο, οὐδαμοῦ τὴν οἰκείαν πλεονεξίαν ὁρίζοντες, ἀλλ' ἑξῆς πάντα καταστρεφόμενοι μέχρις αὐτῆς Χαλκηδόνος καὶ τῆς ἀντιπέρας ἠπείρου τῇ Βυζαντίδι, πρὶν ἐπ' αὐτὴν καταβῆναι τὴν θάλασσαν τῆς ἐπὶ τὰ πρόσω φορᾶς οὐκ ἀνακοπτόμενοι. Ἐκ μὲν γὰρ Αἰγύπτου Σαρακηνοί, Τοῦρκοι δ' ἐξ αὐτῆς τῆς Περσίδος ὁρμώμενοι καὶ τῶν ἔτι κατωτέρω μερῶν, οἱ μὲν Συρίαν καὶ Παλαιστίνην καὶ Παμφυλίαν, οἱ δὲ τὰ μεταξὺ πάντα μέχρις αὐτῆς Βιθυνίας ἐρημίᾳ τῇ τοῦ κωλύσοντος ὑποχείρια σφίσι καὶ δοῦλα πεποίηντο, ὡς καὶ αὐτὸν τὸν βασιλέα Ῥωμαίων ἀπαγαγεῖν δοριάλωτον Ῥωμανὸν τὸν καὶ Διογένην ἐπικληθέντα, τήν τε Εὐρώπην καὶ τὰ πρὸς ἥλιον δύνοντα πάντα λόγῳ μὲν εἶχον Ῥωμαῖοι, ἔργῳ δ' ἐκαρποῦντο Σκύθαι καὶ Οὖννοι καὶ Πατζινάκων τινῶν ἔθνος καὶ οὐκ οἶδ' εἴ τινες ἄλλοι πάντοθεν ἐπιόντες καὶ Μυσῶν λείαν πάντα τιθέμενοι. Ῥωμαῖοι δὲ καὶ Ῥωμαίων οἱ βασιλεῖς μέχρι τοῦ περιβαλέσθαι πορφύραν καὶ τὸ διάδημα ἀναδήσασθαι τῶν τε οἰκείων ἀπολαύειν ὀρέξεων τὴν βασιλείαν ὁρίζοντες τά τε χρήματα οὐκ εἰς δέον ἀνηλωκότες ἐν στενῷ κομιδῇ τὰ ταμιεῖα σφίσι συνήλα-

9. *αὐτῶν* 13-14. *ἀπόλλωνται* 31. *οὖνοι*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σαν, ὧν πολλῶν δεῖ πολέμῳ καὶ τοῖς πολεμικοῖς πράγμασι. Τά τε τοῦ στρατοῦ καὶ λίαν αὐτοῖς εἶχε κακῶς, οὐδεμιᾶς ἀξιομάχου στρατιᾶς εὐποροῦσιν, οὔτε πλήθει νικώντων, οὔτε προὐχόντων ἀσκήσει. Εἴς τε γὰρ εὐαριθμήτους αὐτοῖς ‖ ὁ στρατὸς συνηλάθη, ἀσκήσεώς τε φ. 158α ἕνεκα καὶ τῆς κατὰ πόλεμον ἐμπειρίας οὐδὲν αὐτοὺς γηπόνων ἀνδρῶν διαφέρειν ἡ τῶν βασιλέων τρυφὴ καὶ ῥαστώνη καὶ ὁ ἀνειμένος εἰργάσατο βίος. Ἐλπίς τε οὖν ἀγαθῶν ἦν οὐδεμία τῷ γένει, ἀλλὰ τόν τε περὶ ψυχῆς ἔτρεχον ἤδη κἀπὶ ξυροῦ σφίσιν εἱστήκει τὰ πράγματα καὶ ἔδει καθῆσθαι, τὸν τελευταῖον ἀναμένοντας ὄλεθρον. Ἀλλὰ θεός, ἄνωθεν ὑπερσχὼν χεῖρα καὶ λαβόμενος οἶκτον ἡμῶν, τούς τε Κομνηνιάδας ἡμῖν ἐβασίλευσε καὶ δι᾿ αὐτῶν ἐπανήγαγεν αὖθις τῷ γένει τὴν εὐτυχίαν καὶ τὴν ἧτταν ἀνεμαχήσατο καὶ τὰ ἀπολωλότα πάλιν ἐπανεσώσατο, τότε μὲν εὐθὺς Ἀλέξιον προβαλόμενος τὸν πάντ᾿ ἄριστον καὶ γενναῖον, ἆθλον ἀρετῆς καὶ ὧν στρατηγῶν κατωρθώκει τὴν βασιλείαν εὑράμενον, ἔπειτα δὲ τὴν ἐξ ἐκείνου χρυσῆν ὄντως σειρὰν ἐπιστήσας Ῥωμαίοις. Οἵ, τοῦτο δὴ τὸ τοῦ Δημοσθένους καλῶς εἰρῆσθαι νομίσαντες, πάντα δεῖν ἄνδρα καὶ πᾶσαν πόλιν τὴν αἰτίαν εὑρόντας ὅθεν ἥττους ἑαυτῶν ἐγεγόνεισαν εἶτα βαδίσαι τὴν ἐναντίαν ὡς οὕτως ἐπανακαλεσομένους τὴν ἧτταν, σκεψάμενοί τε τοὺς πρὸ αὐτῶν βασιλεύσαντας ἀντὶ τρυφῆς καὶ βλακείας ὀλίγης τὰ πάντα διειργασμένους, αὐτοὶ βίον ἐργατικὸν καὶ πιναρὸν ἀνελάβοντο καὶ σκηνήτην, ὀλίγα μὲν ταῖς πόλεσι, τὰ πλεῖστα δ᾿ ἐπὶ στρατοπέδου καθεύδοντες καὶ τὸν πάντα βίον ἐπὶ πολέμου καὶ παρατάξεων διατετριφότες, ἐναγώνιόν τε ζωὴν ἔζησαν καὶ τὴν πολιτείαν ὤρθωσαν ἤδη Ῥωμαίοις, τὸ πολέμιον ἅπαν περικαθήραντες, ἔκ τε Ἀσίας ἔκ τε Εὐρώπης αὐτοὺς ἀπήλασαν ὡς πορρωτάτω καὶ πολλὴν ἀνακωχὴν καὶ βαθεῖαν γαλήνην ἡμῖν ἐπορίσαντο, ἀνασωσάμενοί τε τὰ πράγματα καὶ πνεῦμα ζωῆς ‖ ὥσπερ ἐμπεπνευκότες τοῖς πράγμασιν ἤδη νενεκρωμέ- φ. 158β νοις καὶ τελέως ἀπεσβηκόσι.

Ταύτης δὴ τῆς πάντ᾿ ἀρίστης καὶ γενναίας μὲν ῥίζης, γενναιοτέρων δὲ πρέμνων καὶ οἱ τὴν ἡμετέραν κοσμοῦντες ἤρτηνται βασιλεῖς καὶ πρὸς τοιούτους ἔχουσιν ἀναφέρειν προγόνους, οὕτω μὲν τὴν πολιτικὴν ἐπιστήμην ἀρίστους, οὕτω δὲ τὰ πολεμικὰ πάντων κρατίστους, οὕτω δὲ διὰ πάντων διήκοντας καὶ καλῶν ἄγαλμα πάντων τὴν σφετέραν καταστησαμένους ψυχήν. Ἀλέξιος μέν γε καὶ ἡμῖν, ὁ πρῶτος τῆς γῆς ταυτησὶ βασιλεύσας, καὶ τοῦτο δὴ τὸ γλυκὺ πάντων ὄνομα καὶ ἡμῖν,

3. *προυχόντων* 19. *αὐτῶν*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὡς τοῦ τῆς βασιλείας ὀνόματος, οὕτω δὴ καὶ πάντων κατῆρξε καλῶν. Οὗτος υἱωνὸς μὲν ὑπῆρχεν Ἀνδρονίκου τοῦ Κομνηνοῦ, βασιλεύσαντος μὲν καὶ αὐτοῦ τῶν Ῥωμαίων, τὸ δ' οἰκεῖον ἀναφέροντος γένος οὗ καὶ ὁ πρῶτος Ἀλέξιος· μέγας δὲ Κομνηνὸς κεκλημένος, οὐδὲν ἧττον καὶ τοῖς ἔργοις ἦν μέγας, οὐ μᾶλλον ὀνόματος ἢ τῆς τῶν Κομνηνῶν ἀρετῆς αὐτός τε κληρονόμος γενόμενος καὶ τοὺς ἐξ ἑαυτοῦ τοιούτους ἑτέρους ἡμῖν ἀναφήνας, ἀγαθοὺς ἐξ ἀγαθῶν καὶ ἐξ ἀρίστων ἀρίστους, πάντας βασιλικούς, πάντας τῷ γένει συμβαίνοντας, πάντας ἐκείνου τοῦ χαρακτῆρος καὶ τῆς ὁμοίας εἰκόνος, πάντας ἀλλήλοις ἐρίζοντας, ἀλλήλοις ἁμιλλωμένους ὅστις αὐτὸς φθάσει πλείω κατωρθωκὼς ἀγαθὰ καὶ μεταδώσει τοῖς ὑπὸ χεῖρα. Τήν τε γὰρ πόλιν ἡμῖν οὐ μικροῖς ὅροις ἐπηύξησαν, ἀντ' ἀρχομένης ἄρχουσαν καταστήσαντες καὶ ἀντὶ τοῦ δουλεύειν ἑτέρους πολλοὺς ἄλλους δουλώσασαν, σχῆμά τε μητροπόλεως πρὸς τὰ κύκλῳ πάντα καὶ τὴν σύμπασαν Λαζικὴν σχοῦσαν, τό τε ὑπήκοον ἐννόμου βασιλείας ἐπιστασίᾳ καὶ πλήθει καὶ φ. 150α πλούτῳ καὶ τῇ κατὰ πολέμους ‖ ἀνδρείᾳ καὶ γενναιότητι βέλτιον αὐτὸ ἑαυτοῦ ἀπειργάσαντο καὶ προήγαγον εἰς ἐπίδοσιν. Φιλοῦσι μὲν γὰρ αὐτοὺς οἷα παῖδας πατήρ, οὐ μᾶλλον ἀρχόντων ἢ γονέων ἐπιδεικνύμενοι σπλάγχνα, φροντίζουσι δὲ τῆς αὐτῶν βελτιώσεως καὶ μᾶλλον ἢ παίδων γονεῖς, τὸ μὲν αὐτῶν τι κηδόμενοι, τὸ δὲ καὶ σφῶν αὐτῶν προνοούμενοι. Μᾶλλον γὰρ ἂν οἴονται καὶ καθαρώτερον βασιλεύσειν, ἂν ὡς ὅ τι βελτίστων κρατῶσι τῶν ἀρχομένων. Τοσοῦτο γοῦν εὐνοίας ὅ τε δῆμος εἰςφέρει τοῖς βασιλεῦσιν οἵ τε τῶν ἐν τέλει, μὴ καταψευδόμενοι τοῦ ὀνόματος, ὅσον οὐκ οἶδ' εἰ παῖδες πατράσιν, ἀνθ' ὧν οὔθ' ἡμῖν οἱ κρατοῦντες ἠλλάξαντο τὸ ὑπήκοον, ὡς ἂν ἡμῶν καταγνόντες, ὅτι μὴ μᾶλλον σφίσι προςαύξουσι τὴν ἀρχήν, ἐντεῦθεν τὰ βάρβαρα γένη φοβοῦντες, οὔθ' ἡμεῖς ἠλλαξάμεθα τοὺς δεσπότας, ἑτέρους ἐπιζητήσαντες ὡς ἂν ἀχθεσθέντες αὐτοῖς. Ἀλλὰ τὸ Κομνηνῶν γένος καὶ οἱ ἐξ αὐτῶν ἡμῶν ἄρχουσι χρόνον ἤδη τοσοῦτον καὶ τοσαύτης διαδοχῆς παρελθούσης, ὃ μόνον αὐτῶν ἴδιον καὶ οὐκ ἄλλῳ τῳ προςῆκον εὕροι τις ἂν ἐξετάζων. Τοὺς γὰρ ἐν ἁπάσῃ τῇ γῇ καὶ πάσαις πόλεσιν ἄρχοντας μέχρι τετάρτης ἢ πέμπτης γενεᾶς προϊόντας ἕτερον διαδέχεται γένος, καὶ τοῦτο πάλιν πάσχει ταὐτὰ καὶ πρὸς ἄλλους τὴν ἀρχὴν παραπέμπει καὶ οὕτως ἀεί, καὶ οὐκ ἔστιν εὑρεῖν γένος οὐδὲν οὐκ ἀρχόντων, οὐ τυράννων, οὐ βασιλέων μέχρι παντὸς ἐπὶ ταὐτοῦ παραμεῖναν. Οἱ δ' ἡμέτεροι δεσπόται καὶ βασιλεῖς κἂν τούτῳ

10. *κατορθωκώς* 13-14. *σχῆμα τε* 30. *ἄλλῳ* 33. *ταυτά*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΗΣ... 
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καλῶς ποιοῦντες τῶν ἄλλων ἐκράτησαν, καὶ ἧς ἅπαξ ἐλάβοντο γῆς καὶ βασιλείας ἐπέβησαν, ταύτης οὐ χρόνος, οὐ τύχη, οὐ πραγμάτων μεταβολαὶ τούτους ἀπήγαγον, ἀλλ' ὥςπερ ἀθάνατοι ἄρχοντες διαιωνίζουσιν ἡμῖν οἱ αὐτοὶ καὶ ταὐτοῦ γένους ὄντες καὶ αἵματος, ‖ παῖς φ. 159β πατέρα διαδεχόμενοι καὶ τὴν οἰκείαν ἕκαστος ἡγεμονίαν κρατύνοντες. Εἴη δὲ δὴ καὶ τοῦ λοιποῦ τοῖς αὐτοῖς χρῆσθαι δεσπόταις καὶ ὑπὲρ τῶν αὐτῶν βασιλεύεσθαι, καὶ συνέχοις αὐτὸς ἄνωθεν, θεὲ ἡγεμόνιε, τὸ γένος τῶν βασιλέων καὶ ἰθύνοις μὲν τὴν βασιλείαν αὐτοῖς, εὖ δὲ τὰ ἡμέτερα διαθείης καί, δι' ἀλλήλων ἀλλήλους κρατύνοις, τῇ τε πόλει τοὺς βασιλεῖς καὶ τοῖς βασιλεῦσι τὴν πόλιν τε καὶ τὸ γένος ἡμῖν.

Ὑπὸ δὴ τοιαύτῃ βασιλείᾳ καὶ τοιούτοις ἄρχουσιν ἡ πόλις ἡμῖν ὀρθουμένη ἑαυτῆς τε βελτίων γεγένηται καὶ συμφώνως τοῖς πρὶν εὐτυχήμασιν τούς τε τῆς ἀρχῆς ὅρους ηὔξηται τῇ τε περιβολῇ τῶν τειχῶν καὶ τῆς ἄλλης κατασκευῆς νεῶν τε καὶ οἰκημάτων καὶ ἀγορῶν καὶ πάσης τῆς τῇδε φιλοτιμίας, τῷ τε τῶν πολιτῶν πλήθει καὶ πλούτῳ καὶ εὐδαιμονίᾳ ὑπερεβάλετο ἑαυτήν, τοὐναντίον παθοῦσα ἢ τῶν πόλεων αἱ πολλαί. Αἱ μέν γ' εὐτυχήσασαι πρῶτα, εἶτα τῆς ἐναντίας τύχης πειρῶνται, καὶ παρακμάζει σφίσι τὰ τῆς αὐξήσεως, ἡ δ' ἀπὸ ταπεινοῦ καὶ σμικροῦ τὸ πρῶτον ἠργμένη οὐ κάμνει προκόπτουσα οὐδ' ἐπιδιδοῦσα.

Ὄντος γοῦν αὐτῇ τὰ πρῶτα τοῦ περιβόλου στενοῦ, καὶ δεύτερος περιήχθη, καὶ προςεσκεύασται τρίτος, καὶ πρὸς μέγα μέτρον ἡμῖν τὰ τῶν τειχῶν παρατέτακται. Τὴν γὰρ νῦν μὲν ἀκρόπολιν, πάλαι δὲ πόλιν, εἰςόδους παρεχομένην διττάς, τὴν μὲν ἀπάγουσαν ἔξω τε καὶ ὡς πρὸς τὴν ἤπειρον, θατέραν δ' ἐκ τοῦ πρὸς θάλατταν αὐτῆς μέρους, προςαυξῆσαι θελήσαντες οἱ πατέρες ἡμῖν, οὐ κύκλῳ περιέλαβον ἅπασαν, ὡς εἴσω τοῦ δευτέρου τείχους ὅλην ποιήσασθαι· ἀλλ' ἐπεὶ κατιέναι μέχρις ἐς θάλασσαν ἦν αὐτοῖς προὔργου μετά γε τοῦ τὸν περίβολον παραυξῆσαι, τὴν μὲν ἐς μεσημβρίαν καὶ ἔξω βλέπουσαν πύλην ἀφεῖσαν ἔξω πάλιν αὐτῆς εἶναι, ‖ τὸ δέ γε πρὸς θάλασσαν αὐτῆς μέ- φ. 160α ρος ἀπολαβόντες ἀπό τε τῶν γωνιῶν ἑκατέρας ἠργμένοι, τείχη τε παρέτειναν ἑκατέρωθεν ἕτερον πολλάκις τὸ μῆκος τοσοῦτον ὅσον τὸ τῆς ἀκροπόλεως ὅλης, εἶθ' ἑτέρᾳ πλευρᾷ ἐγκαρσίῳ ταὐτά τε συνῆψαν ἀλλήλοις καὶ τὸν ἐντὸς ἅπαντα τόπον τοῦ λοιποῦ καὶ πρὸς τῷ αἰγιαλῷ διωρίσαντο, καὶ πύλαις μὲν παρ' ἑκατέρᾳ μιᾷ ἀνεπέτασαν, ἐκ δὲ τοῦ πρὸς θάλατταν αὖθις ἑτέρᾳ, περὶ ἥν, ἐπείπερ ὁ τῇδε φέρων

3. ἀθάνατα 18. ἤδ' 33. ταῦτα τὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

χῶρος ὁμαλὸς καὶ ἐπίπεδος, οὔτε περιειργάσαντο, οὔτ' ἐπολυπραγμόνησαν. Περὶ δὲ τὰς παρ' ἑκατέρας πύλας καὶ πολὺν κατεβάλοντο πόνον καὶ οἷον ἂν ἄξιον διηγήσασθαι. Οἱ γὰρ ἄνωθεν κατιόντες παρ' ἑκάτερα φάραγγες, ἐνταῦθα βαθυνόμενοί τε καὶ τραχυνόμενοι μᾶλλον, οὔτ' ἀνθρώποις εὐζώνοις, οὔτε πολλῷ μᾶλλον βουσὶν ἢ ζεύγεσιν ἢ φορτηγοῖς ζώοις ῥᾳδίαν παρεῖχον τὴν εἴσοδον. Ἔδει δὴ καθομαλισθῆναι τὴν φάραγγα καὶ τὸν κρημνώδη χῶρον ἴσον τε καὶ ἐπίπεδον γεγενῆσθαι καὶ τὴν ὁδὸν εὐθεῖαν ἀπ' αὐτῶν τῶν πυλῶν μέχρις ἐς γῆν τὴν ἀντιπέρας αὐτήν. Ἀπ' αὐτῶν γοῦν τῶν μυχαιτάτων ἠργμένοι τοῦ φάραγγος ἀνέστησαν πάχει διαφέροντα τείχη καὶ εἰς ὕψος ἀνήγαγον, μέχρις αὐτῶν τε τῶν πυλῶν φθάνοντα καὶ τῆς ἀντιπέρας τῶν ὄχθῶν ἑκατέρας. Καὶ τὰ τείχη διττὰ παρ' ἑκατέρᾳ, τὸ μὲν ἀπ' αὐτῶν πυλῶν ἐς αὐτὸ τὸ ποτάμιον ῥεῦμα, ὃ τοὺς φάραγγας δίεισι, τὸ δ' ἀφ' ἑκατέρας ὄχθης ἐς αὐτὸ τὸ ῥεῦμα, τὸ δὲ τούτοιν ἀμφοῖν μεταξὺ χάος τε καὶ κρημνὸς ὑπολέλειπται καὶ οὐκ ἔστι διελθεῖν οὔτ' ἐξιόντα τῆς πόλεως οὔτ' εἰσιόντα, ἀφαιρεθέντος τοῦ ζεύγματος καὶ τοῦ ἐπικειμένου ξυλίνου γεφυρώματος. Τοῦ γὰρ ἀσφαλοῦς προνοούμενοι παρ' αὐταῖς τε ταῖς ὄχθαις πύργους ἀνήγειραν, ὅθεν ἂν τοῖς πολεμίοις τὰς
φ. 160β εἰσόδους ἀποτειχίζοιεν, || καὶ τὰ γεφυρώματ' αὐτὰ ὑπέθεσαν ξύλινα, ὡς ἄν, ἐν τῷ παρισταμένῳ τῆς χρείας ῥᾳδίως αἰρόμενα, ἄβατον τοῖς ἐναντίοις τὴν εἴσοδον καταλίποιεν. Ἐπεὶ δ' αὐξομένης ἀεὶ καὶ ἧς εἴληχε μοίρας ἐπὶ τὸ βέλτιόν τε καὶ μεῖζον ἀγούσης αὐτὴν ἔδει τόν τε περίβολον ἐκτετάσθαι καὶ ἀκριβῶς γενέσθαι θαλάττιον, τῶν κυμάτων αὐτῆς περικλυζόντων τὰ τείχη, ἐν ὑστέρῳ καιροῦ καὶ τοῦτο δὴ προσεγένετο. Ἐκ γοῦν τοῦ πρὸς δυσμὰς φέροντος ἠργμένοι, οὗ τὸν πύργον ἐπ' αὐτῇ δεδομῆσθαι τῇ εἰσόδῳ προέφημεν καὶ τὴν ἐνταῦθα φάραγγα εἴσω ποιησάμενοι πᾶσαν καὶ πολὺ παρεξιόντες μέχρι τὰ θαλάσσης κατῆλθον αὐτῆς, τῶν κυμάτων αὐτῶν ἐπιβάντες, καί, περιαγαγόντες τὸ τεῖχος, εἰς αὐτό γε τὸ πρὸς ἕω τῆς πόλεως μέρος προσενήρμοσαν φέροντες, τῆς τε προειρημένης ὀλίγῳ κάτωθεν πόλεως εἴσω τε τῆς ἐνταῦθα φάραγγος πάσης τοσούτῳ μεῖζον τοῦ δευτέρου περιβαλόμενοι τεῖχος, ὅσῳ τοῦτο διαφέρει τοῦ πρώτου, πύλαις τε καὶ πυλίσιν ἀναπεπταμένον παντοδαπαῖς καὶ πανταχοῦ φέρον πολλαῖς ταῖς αὐταῖς τοῦ τε μεγέθους πρὸς λόγον ὃ περιβέβληται καὶ τοῦ πλήθους τῶν ἐνοικούντων. Ἐς αὐτήν τε γὰρ θάλατταν δυσὶ καὶ τρισὶν ἀνέῳγε

3 - 5. *οἱ . . . φάραγγες . . . βαθυνόμενοι . . τραχυνόμενοι*. Ἴδε καὶ κατωτέρω στ. 10 καὶ 13. Ἀλλ' ἴδε καὶ θηλυκὸν τὸ *φάραγξ* ἐνταῦθα ἐν στ. 7, 26 καὶ 31.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΓΕΩΡΓΙΟΣ Θ. ΖΩΓΡΑΦΙΔΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πύλαις καὶ αὖ παρ' ἑκάτερα ταῖς ἴσαις καὶ πλείοσιν εἰςιέναι παρέχεται, ὥςτε διπλοῦν ἀνθ' ἁπλοῦ τὸν περίβολον ἡμῖν εἶναι καὶ τὰ ἴσα πολλαῖς ἄλλαις μεγέθους εἵνεκα δύνασθαι.

Τοσούτου δὲ παντὸς ὄντος τοῦ περιβόλου καὶ τοσοῦτον περιέχοντος χῶρον ἐντός, ὅμως οὐδὲν ἧττον τὸ τῆς πόλεως πλῆθος στενοχωρεῖται καὶ κρεῖττον ἢ κατὰ τὴν πόλιν ὑπάρχον εὑρίσκεται. Τό τε γοῦν πλεῖστον ἐκτὸς παρ' ἑκάτερα κέχυται καὶ οὐδ' ὀφθαλμοῖς ὁρίζει τὸ τῶν οἰκιῶν πλῆθος, ὅσαι πρός τε τὴν ἕω || [φ. 161α] καὶ τὴν ἐς δυσμὰς φέρον δεδομημέναι προαστείων τε τῇ πόλει φέρουσι λόγον, καὶ οὓς ὁ περίβολος οὐ χωρεῖ δεχόμεναι ἀναπαύουσι λειμῶνές τε καὶ παράδεισοι καὶ δένδρα παντοδαπὰ καρποῖς βρίθοντα, τά τε ἄλλα καὶ ἐλαιῶν πλῆθος ὥςπερ τι συνηρεφὲς ἄλσος τὸν τῇδε πάντα χῶρον σκιάζοντα, προκεχυμένα τῆς πόλεως, τούς τ' ἐξιόντας μετὰ πολλῆς παραπέμπει τῆς ἡδονῆς καὶ πυκνὰ τοὺς τῶν ἐξιόντων ὀφθαλμοὺς ἐπιστρέφει τε πρὸς αὐτὰ καὶ οἷον ἐπιλαθέσθαι τῆς προκειμένης ὁδοῦ πείθοντα, ὅλους πρός τε θαῦμα τοῦ ἑαυτῶν κάλλους ἀπάγει, καὶ πεδητῶν τρόπον αὐτοῦ πάντας κατέχει, ἐμπόριόν τε καὶ ἀγορὰ πᾶσα καὶ κάπηλοι πάντες ἔξω τῆς πόλεως, καὶ ταῦτα πάντα τὸ πρὸς ἕω μέρος αὐτῆς φέρει, ἀπ' αὐτῶν μὲν ἀρχόμενα τῶν τειχῶν, ἀπιόντα δ' ἐς μῆκος ὅσον ἐνῆν πλεῖστον οὐκ ἀπ' εὐθείας μόνον, ἀλλά πη καὶ κάμπτοντα πολλαχοῦ καὶ παρεκδρομὰς οὐκ ὀλίγας ποιούμενα. Παρ' ἑκάτερα δὲ ἐργαστήριά τε δεδόμηται πάμπολλα καὶ γέρρα τῶν ἐργαστηρίων ἐξέχει καὶ ἄνδρες ἐργάται καθήμενοι ἐμπορεύονται τὰ τιμιώτατά τε καὶ κάλλιστα πιπράσκοντες καὶ ὠνούμενοι καὶ ὅσα ἡ πᾶσα γῆ φέρει. Ἔτι δ' ἐπιτηδεύματα πάντα καὶ τέχνας παντοίας, ὅσαι τε βάναυσοι ὅσαι τε ἄπυροι, καὶ ὅλως ὅσων ἀνθρώποις οὐ πρὸς ζωὴν μόνον, ἀλλὰ καὶ πρὸς διαγωγὴν δεῖ, πάσας ἂν εὕροις ἐνταῦθα καὶ οἵας οὐκ ἄλλοθι γῆς, ὥςτε τὸ τῶν τεχνιτῶν ἡμῖν πλῆθος ἀντ' ἄλλης εἶναι πληρώματος πόλεως. Πλήθει γοῦν ἡμῖν ἡ ἀγορὰ καὶ αὐτὸ τὸ ἐμπόριον οὐ τῇδε ἢ τῇδε τῶν πασῶν ἡμερῶν, οὐδὲ τῷδε ἢ τῷδε μέρει ἡμέρας καὶ ὥρας ὁποιασοῦν, ἀλλὰ πάσαις μὲν ἡμέραις ἐνιαυτοῦ, πάσαις δὲ ὥραις ἡμέρας, || [φ. 161β] σύμμικτον ἀεὶ φέρουσα πλῆθος καὶ μόλις χωροῦσα τοὺς διιόντας. Τό τε γὰρ ξενικὸν οὐκ ὀλίγον ἐνταῦθα καὶ ὅσον κατ' ἐμπορίαν τῇ ἡμετέρᾳ συμμίγνυσιν οἵ τε πολῖται τῷ τῆς πόλεως μεγέθει συμβαίνοντες καὶ οἱ αὐτὸ τοῦτο ἔμποροι, οὓς οὐκ ἔνι μὴ ἀγοράζειν ἀεί, ἀρκοῦντες τὴν ἀγορὰν πλήθειν ἀνθρώπων ποιεῖν, ὥςτε τριχῇ τὸ πλῆ-

10. *λειμῶνες τὲ* 11-12. *ὥςπερ τὶ* 22. *γέρα* 25-26. *ἄπυροι* ἐκ τοῦ *ἄπειροι*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006